Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

2901 f. 4

3

# THEOPHRASTI CHARACTERES EPICTETI MANUALE ET CEBETIS THEBANI TABULA.

NOVA
EDITIO STEREOTYPA.

2901 f. 4

Indian Institute, Oxford.

THE MALAN LIBRARY

PRESENTED

BY THE REV. S. C. MALAN, D.D.,

*VICAR OF BROADWINDSOR,*

**January, 1885.**

100 A 30.

# 1835.

# Neuestes Verzeichniß
## von Stereotypen-Ausgaben
## im Verlage
## *von K. Tauchnitz in Leipzig.*

## I. Griechische und lateinische Classiker.

### Griechische Autoren.

*Aeschyli Tragoediae*, 6 gr.
*Anacreontis Carmina*, 3 gr.
*Anthologia Graeca*, III Voll. 21 gr.
*Apollonii Rhodii Argonautica*, 4 gr.
*Aristophanis Comoediae*, III Voll. 18 gr.
*Euripidis Tragoediae*, IV Vol. 18 gr.
*Hesiodi Carmina*, 2 gr.
*Homeri Ilias*, II Voll. 10 gr.
*Homeri Odyssea*, II Voll. 10 gr.
*Homeri Opera*, II Voll. 8vo *(Preisausgabe.)* 2 Thlr.
*Orphica*, *Procli*, *Musaei et Callimachi Carmina*, 5 gr.
*Pindari Carmina*, 6 gr.
*Poetae Graeci Gnomici*, 4 gr.
*Quinti Smyrnaei*, *Tryphiodori*, *Tzetzae et Coluthi Carmina de reb. Troianis*, 8 gr.
*Sophoclis Tragoediae*, 10 gr.
*Theocritus*, *Bion et Moschus*, 4 gr.

---

*Aeliani Varia Historia*, *Heraclides Ponticus et Nicol. Damascenus*, 6 gr.
*Aeschinis oratoris Opera*, 5 gr.
*Aesopicae Fabulae*, 4 gr.
*Antonini Commentarii*, 4 gr.
*Apollodori Atheniensis Bibliothecae libri III.* 6 gr.
*Appiani Romanae Historiae*, IV Voll. 1 Thlr.
1. *Aristotelis Physicae auscultationis libri VIII*, 6 gr.
2. *Arist. Metaphysica*, 9 gr.
3. *Arist. de Coelo libri IV*, *de Generatione et Corruptione libri II*, 5 gr.

4. *Arist. Meteorologica et de Mundo liber*, 5 gr.

5. *Arist. Historiae animalium libri* X, 9 gr.

6. *Arist. de animalium partibus, de anim. generatione, de anim. ingressu, de anim. motu, de spiritu*, 12 gr.

7. *Arist. de Anima, de Sensu et sensili, de Memoria, de Somno, de Somniis, de Longitudine et brevitate vitae, de Iuventute et senectute, de Vita et morte, de Respiratione*, 5 gr.

8. *Arist. Categoriae, de Interpretatione, Topica, Elenchi*, 9 gr.
(oder: *Organon P. I.*)

9. *Arist. Analytica priora et posteriora*, 7 gr.
(oder: *Organon P. II.*)

10. *Arist. Ethicorum Nicomacheorum libri* X, 6 gr.

11. *Arist. Politicorum libri VIII et Oeconomica*, 6 gr.

12. *Arist. Rhetoricae libri III*, 5 gr.

13. *Arist. de Poetica liber, et Rhetorica ad Alexandrum*, 4 gr.

14. *Arist. Problemata*, 9 gr.

15. *Arist. Magna Moralia, Ethica Eudemea, de virtutibus et vitiis*, 9 gr.

16. *Arist. Mechanica problemata, de lineis insecabilibus, de audibilibus, de coloribus, Physiognomica, ventorum situs, de plantis, de mirabilibus auditis, de Xenophane, Zenone et Gorgia, Fragmenta*, 10 gr.

*Arriani Expeditio Alex.* 7 gr.

*Athenaei Deipnosophistae libri XV.* IV Vol. 1 Thlr. 20 gr.

*Dio Cassius*, IV Voll. 1 Thlr. 8 gr.

*Demosthenis Opera*, V Voll. 1 Thlr. 6 gr.

*Diodorus Sic.* VI Voll. 2 Thlr.

*Diogenis Laertii de vitis philosophorum libri* X. II Voll. 18 gr.

*Dionysius Halicarnassensis*, VI Voll. 1 Thlr. 18 gr.

*Herodiani Hist. Rom.* 5 gr.

*Herodotus*, III Voll. 18 gr.

*Isaei Orationes*, 5 gr.

*Isocratis Orationes et Epistolae*, II Voll. 14 gr.

*Luciani Opera*, IV Voll. 1 Thlr. 8 gr.

*Lysiae Orationes*, 6 gr.

*Pausaniae Graeciae Descriptio*, III Voll. 21 gr.

*Platonis Opera*, VIII Voll. 2 Thlr. 16 gr.

*Plutarchi Vitae parallelae*, IX Voll. 2 Thlr. 6 gr.

*Plutarchi Moralia*, VI Voll. 2 Thlr. 6 gr.

*Polybii Historiae*, IV Voll. 3 Thlr.

*Strabo,* III Voll. 1 Thlr. 3 gr.

*Theophrasti Charact. Epicteti Manuale et Cebetis Tabula*, 2 gr.

*Thucydides*, II Voll. 14 gr.

*Xenophontis Opera,* VI Voll. 1 Thlr.

## Lateinische Autoren.

*Catullus, Tibullus et Propertius,* 5 gr.

*Horatius,* 5 gr.

*M. Ann. Lucani pharsalia* 8 gr.

*Lucretii Cari de Rerum natura libri VI.* 12 gr.

*Martialis*, 7 gr.

*Ovidii Opera,* III Voll. 18 gr.

*Palingenii Zodiacus vitae,* 12 gr.

*Persius et Iuvenalis*, 3 gr.

*Phaedrus cum Aviani et Faerni fabulis*, 3 gr.

*Phaedri Fabulae*, 2 gr.

*Plauti Comoediae*, II Voll. 18 gr.

*Caji Silii Italici Punicorum libri XVII,* 12 gr.

*Terentii Comoediae*, 6 gr.

*Virgilius*, 8 gr.

---

*Ammiani Marcellini quae supersunt,* 16 gr.

*Aurelius Victor*, 3 gr.

*M. Tullii Ciceronis Opera omnia, uno volumine comprehensa,* 4to. 7 Thlr. 12gr.

*M. Tullii Ciceronis Opera,* X Voll. 6 Thlr. 16 gr.

*M. Tullii Ciceronis Opera,* in 35Abtheilungen inSedez.

*Cornelius Nepos*, 2 gr.

*C. Cornelii Taciti Opera,* II Voll. 14 gr.

*Curtius,* 8 gr.

*Erasmi Colloquia,* II Voll. 14 gr.

*Eutropius*, 2 gr.

*Florus*, 2 gr.

*Auli Gellii noctes atticae cum indicibus locupletissimis,* 14 gr.

*Iulius Caesar,* 10 gr.

*Iustinus*, 5 gr.

*T. Livii Historiarum libri, uno volumine comprehensi,* 4to. 4 Thlr.

*T. Livii Opera,* IV Voll. (in Octav.) 2 Thlr. 12 gr.

*T. Livii Opera,* VI Voll. (in Sedez.) 1 Thlr. 17 gr.

*C. Plinii Secundi Historiae Naturalis libri XXXVII,* V Voll. 2 Thlr. 22 gr.

*Plinii Epistolae*, 7 gr.

*Pomponii Melae de situ orbis,* 3 gr.

*Sallustius*, 3 gr.

*Quintiliani Instit. oratoria*, II Voll. 12 gr.

*L. Annaei Senecae Opera*, V Voll. 1 Thlr. 21 gr.

*Suetonius*, 6 gr.

*Valerius Maximus*, 16 gr.

*Velleius Paterculus*, 3 gr.

## II. *Wohlfeile Wörterbücher.*

**Deutsch-griechisches Handwörterbuch**, von M. J. A. E. Schmidt. 1 Thlr.

**Griechisch-deutsches Handwörterbuch**, von M. J. A. E. Schmidt. 1 Thlr.

**Lexicon Graeco-Latinum manuale**, ex optimis libris concinnatum. 1 Thlr. 8 gr.

**Lexicon Hebraicum et Chaldaicum in libros Veteris Testamenti**, ordine etymologico compositum, in usum scholarum edidit *M.* E. F. Leopold. 16 gr.

**Neues vollst. Taschenwörterbuch der engl. u. deutschen Sprache, von F. A. Weber.** *Zweite verb. u. sehr vermehrte Ausgabe* ☞ *mit Bezeichnung der Aussprache und Betonung nach Walker.* 1 Thlr. 18 gr.

**Neues vollständiges Taschenwörterbuch der französischen u. deutschen Sprache, v. F. A. Weber.** 1 Thlr. 12 gr.

**Lateinisch-deutsches und deutsch-lateinisches Schulwörterbuch**, bearbeitet nach den größern Werken von Forcellini, Scheller, Bauer und Kraft, mit einem Verzeichnisse neuer geographischer Namen. 1 Thlr. 12 gr.

**Russisch-deutsches u. deutsch-russisches Wörterbuch**, mit Zuziehung des russischen Wörterbuchs der Academie von Petersburg, ausgearbeitet von M. J. A. E. Schmidt. 2 Thlr. 8 gr.

**Schul- und Reise-Taschen-Wörterbuch der englischen u. deutschen Sprache, mit beigefügter Bezeichnung der Aussprache der englischen Wörter nach Walkers System.** Neue vermehrte und verbesserte Auflage. 18 gr.

**Schul- und Reise-Taschen-Wörterbuch der französ. u. deutschen Sprache.** 16 gr.

**Schul- und Reise-Taschen-Wörterbuch der italien. und deutschen Sprache.** 18 gr.

Ferner ist im Stereotypendruck erschienen:

**תורה נביאים וכתובים. Biblia Hebraica**, secundum editiones Ios. Athiae, Ioan. Leusden, Ioan. Simonis aliorumque, inprimis Everardi van der Hooght, recensuit *D.* Aug. Hahn. 3 Thlr. 12 gr.

**Dasselbe Buch in Duodez.** Sehr schöne und wohlfeile Schulausgabe, 2 Thlr.

# THEOPHRASTI CHARACTERES EPICTETI MANUALE ET CEBETIS THEBANI TABULA.

NOVA
EDITIO STEREOTYPA
ITERATIS CURIS
CASTIGATA ET EXPOLITA.

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII
1829.

Ladenpreis 2 Groschen.

2[illegible]
DEC
192[illegible]

# ΘΕΟΦΡΑΣΤΟΥ

# ΧΑΡΑΚΤΗΡΕΣ.

## ΘΕΟΦΡΑΣΤΟΣ ΠΟΛΥΚΛΕΙ.

Ἤδη μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων, τί γάρ δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. Ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας ἐκ πολλοῦ χρόνου τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον δεῖν συγγράψαι, ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. Ἐκθήσω δέ σοι κατὰ γένος, ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προςκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. Ὑπολαμβάνω γάρ, ὦ Πολύκλεις, τοὺς υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων, οἷς παραδείγμασι χρώμενοι αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. Τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον· σὸν δὲ παρακολουθῆσαί τε καὶ εἰδῆσαι, εἰ ὀρθῶς λέγω. Πρῶτον μὲν οὖν ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν

εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. Καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας καὶ ὁριοῦμαι αὐτήν· εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποῖός τίς ἐστι, καὶ εἰς τίνα τρόπον κατενήνεκται· καὶ τὰ ἄλλα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ γένος φανερὰ καταστῆσαι.

---

I.

## ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προςποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων· ὁ δὲ εἴρων τοιοῦτός τις, οἷος προςελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, (ὡς) οὐ μισῶν· καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα· καὶ τούτοις συλλυπεῖσθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν λέγουσι. Καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις, καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πρᾴως διαλέγεσθαι. Καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις προςτάξαι ἐπανελθεῖν, καὶ προςποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι, καὶ αὐτὸν μαλακισθῆναι. Καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ· καὶ μὴ πωλῶν φῆσαι πωλεῖν. Καὶ ἀκούσας τὶ, δόξαι μὴ προςποιεῖσθαι, καὶ ἰδὼν, μὴ ἑωρακέναι. [Καὶ μηδὲν, ὧν πράττει, ὁμολογῆσαι, ἀλλὰ φῆσαι βουλεύεσθαι·] καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι· καὶ τὰ μὲν σκέψεσθαι φά-

σκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δὲ ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι. Καὶ τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, „Οὐ πιστεύω, Οὐχ ὑπολαμβάνω, Ἐκπλήττομαι·" καὶ λέγειν ἑαυτὸν ἕτερον γεγονέναι· „Καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει, Παράδοξόν μοι τὸ πρᾶγμα, Ἄλλῳ τινὶ λέγε, Ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀποροῦμαι." — * Ἀλλ' ὅρα, μὴ σὺ θᾶττον πιστεύῃς τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας, οὗ χεῖρόν ἐστιν εὑρεῖν οὐδέν· τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ ἀλλ' ἐπίβουλα φυλάττεσθαι μᾶλλον δεῖ, ἢ τοὺς ἔχεις.

---

## II.

## ΠΕΡΙ ΚΟΛΑΚΕΙΑΣ.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι· τὸν δὲ κόλακα τοιοῦτόν τινα, ὥστε πορευόμενον ἅμα εἰπεῖν, „Ἐνθυμῇ, ὡς ἀποβλέπουσι πρὸς σὲ οἱ ἄνθρωποι; τοῦτο οὐθενὶ τῶν ἐν τῇ πόλει γίνεται πλὴν σοί· εὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ· πλειόνων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου, τίς εἴη βέλτιστος, ἀπ' αὐτοῦ ἀρξαμένους πάντας ἐπὶ τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι." καὶ ἄλλα τοιαῦτα λέγων ἀπὸ τοῦ ἱματίου ἀφελεῖν κροκίδα. Καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἀπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι, καὶ ἐπιγελάσας

δὲ εἰπεῖν, „Ὁρᾷς; ὅτι δυεῖν σοι ἡμερῶν **οὐκ** ἐντε-τύχηκα, πολιῶν ἔσχηκας τὸν πώγωνα **μεστόν**· καί-περ εἴ τις καὶ ἄλλος ἔχεις πρὸς τὰ ἔτη **μέλαιναν** τὴν τρίχα." Καὶ λέγοντος αὐτοῦ τι, τοὺς **ἄλλους** σιω-πᾶν κελεῦσαι· καὶ ἐπαινέσαι δὲ **ἀκούοντος**· καὶ ἐπισημήνασθαι δὲ, εἰ παύσεται, „**Ὀρθῶς**." Καὶ σκώψαντι ψυχρῶς ἐπιγελάσαι, τό τε **ἱμάτιον** ὦσαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν **τὸν** γέ-λωτα. Καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι **κελεῦσαι**, ἕως ἂν Αὐτὸς παρέλθῃ. Καὶ τοῖς παιδίοις **μῆλα** καὶ ἀπίους πριάμενος, εἰςενέγκας δοῦναι, **ὁρῶντος** αὐτοῦ, καὶ φιλήσας δὲ εἰπεῖν, „χρηστοῦ **πατρὸς** νεόττια." Καὶ συνωνούμενος δὲ κρηπῖδας, **τὸν** πό-δα φῆσαι εἶναι εὐρυθμότερον τοῦ **ὑποδήματος**. Καὶ πορευομένου πρός τινα τῶν φίλων, προδραμὼν εἰ-πεῖν, ὅτι „Πρός σε ἔρχεται" καὶ ἀναστρέψας, ὅτι „Προήγγελκα." Ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγο-ρᾶς διακονῆσαι δυνατὸς ἀπνευστί. Καὶ τῶν ἑστιω-μένων πρῶτος ἐπαινέσαι τὸν οἶνον· καὶ παρακειμέ-νῳ εἰπεῖν, „Ὡς μαλακῶς ἐσθίεις·" καὶ ἄρας τι αὐ-τῷ ἀπὸ τῆς τραπέζης, φῆσαι, „Τουτὶ ἄρα ὡς χρη-στόν ἐστι!" Καὶ ἐρωτῆσαι, μὴ ῥιγοῖ; καὶ εἰ ἐπι-βαλέσθαι βούλεται; καὶ ἔτι ταῦτα λέγων περιστεῖ-λαι αὐτόν. Καὶ μὴν πρὸς τὸ οὖς προςκύπτων ψι-θυρίζειν· καὶ εἰς ἐκεῖνον ἀποβλέπων τοῖς ἄλλοις λαλεῖν. Καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προςκεφάλαια αὐτὸς ὑποστρῶσαι. Καὶ τὴν οἰ-κίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι.—*Καὶ

τὸ κεφάλαιον, τὸν κόλακά ἐστι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράσσοντα, οἷς χαριεῖσθαι ὑπολαμβάνει.

---

## III. (V.)

## ΠΕΡΙ ΑΡΕΣΚΕΙΑΣ.

Ἡ δὲ ἀρέσκειά ἐστι μὲν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική· ὁ δὲ ἄρεσκος ἀμέλει τοιοῦτός τις, οἷος πόῤῥωθεν προςαγορεύσας, καὶ ἄνδρα κράτιστον εἰπὼν, καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς χερσὶ μὴ ἀφιέναι· καὶ μικρὸν προπέμψας καὶ ἐρωτήσας, πότε αὐτὸν ὄψεται, ἔτι ἐπαινῶν ἀπαλλάττεσθαι. Καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν, μὴ μόνον, ᾧ πάρεστι, βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἶναι δοκῇ· καὶ τοὺς ξένους δὲ εἰπεῖν, ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν. Καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἑστιῶντα, καὶ εἰςιόντα φῆσαι σύκου ὁμοιότερα εἶναι τῷ πατρί· καὶ προςαγαγόμενος φιλῆσαι, καὶ παρ' ἑαυτὸν καθίσαι· καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς, λέγων „Ἀσκὸς, Πέλεκυς:“ τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾷν καθεύδειν ἅμα θλιβόμενος. [καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος, μασσώμενος σιτίζειν αὐτὸς, καὶ ὑποκορίζεσθαι ποππύζων, καὶ πανουργότερον τοῦ πάππου καλῶν.] . . . . .

---

# IV. (V.)

# (ΠΕΡΙ ΜΕΓΑΛΟΠΡΕΠΕΙΑΣ.)

. . . . . Καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν, καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι, καὶ χρίσματι ἀλείφεσθαι. Καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προςφοιτᾷν, τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται· τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν στρατηγῶν. Καὶ ἀγοράζειν ἑαυτῷ μὲν μηδὲν, ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα, καὶ Λακωνικὰς κύνας εἰς Κύζικον, καὶ μέλι Ὑμήττιον εἰς Ῥόδον· καὶ ταῦτα ποιῶν τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. Ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς, καὶ τίτυρον κτήσασθαι, καὶ Σικελικὰς περιστερὰς, καὶ δορκαδείους ἀστραγάλους, καὶ Θυριακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστρικὸν κόνιν ἔχον καὶ σφαιριστήριον· καὶ τοῦτο περιϊὼν χρᾷν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι· καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον εἰπεῖν ἐπὶ τῶν θεωμένων πρὸς ἕτερον, ὅτι „Τούτων ἐστὶν ἡ παλαίστρα.“

## V. (XXI.)

# ΠΕΡΙ ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος· ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι, ἐπὶ δεῖπνον κληθεὶς, παρ᾽ αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. Καὶ τὸν υἱὸν ἀποκεῖραι ἀναγαγὼν εἰς Δελφούς. Καὶ ἐπιμεληθῆναι δὲ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται. Καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι. [Καὶ κολοιῷ δὲ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον πρίασθαι, καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσεται.] Καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε. Καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ θοιμάτιον [ἐν τοῖς μύωψι] ἐς τὴν ἀγορὰν περιπατεῖν. Καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα ποιῆσαι καὶ στηλίδιον πήξας ἐπιγράψαι „Κλάδος Μελιταῖος.“ Καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ Ἀσκληπιείῳ, τοῦτον ἐκτρίβειν στεφανῶν, καὶ ἀλείφειν ὁσημέραι. Ἀμέλει δὲ καὶ συνδιοικήσασθαι (τὰ) παρὰ τῶν πρυτάνεων, ὅπως ἀπαγγέλλῃ τῷ δήμῳ τὰ ἱερά· καὶ παρεσκευασμένος λαμπρὸν ἱμάτιον καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν, „Ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τῇ μη-

τρὶ τῶν θεῶν· καὶ τὰ μὲν ἱερὰ ἄξια καὶ καλά, καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά!" καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ, ὡς καθ᾽ ὑπερβολὴν εὐημερεῖ.

---

(IV. V.)

# ΠΕΡΙ ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν ἂν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος· ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι ἐπὶ δεῖπνον κληθεὶς παρ᾽ αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. Καὶ τὸν υἱὸν ἀποκεῖραι ἀναγαγὼν εἰς Δελφούς. Καὶ ἐπιμεληθῆναι δὲ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται. Καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι. Καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε. Καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα ἀποδοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ θοιμάτιον ἐν τοῖς μύωψι ἐς τὴν ἀγορὰν περιπατεῖν. Καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα ποιῆσαι, καὶ στηλίδιον πήξας ἐπιγράψαι· „Καλὸς Μελιταῖος." Καὶ κολοιῷ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον πρίασθαι, καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσει. Καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν

τῷ Ἀσκληπιείῳ, τοῦτον ἐκτρίβειν στεφανῶν. Καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν, καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι, καὶ χρίσματι ἀλείφεσθαι δσημέραι. Καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προςφοιτᾷν· τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται· τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν στρατηγῶν. Καὶ ἀγοράζειν ἑαυτῷ μὲν μηδὲν, ξένοις δὲ ἐπιστάλματα· εἰς Κύζικον Λακωνικὰς κύνας, καὶ μέλι Ὑμήττιον εἰς Ῥόδον· καὶ ταῦτα ποιῶν τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. Ἀμέλει δὲ καὶ τίτυρον θρέψαι δεινὸς καὶ Σικελικὰς περιστεράς· καὶ δορκαδείους κτήσασθαι ἀστραγάλους, καὶ Θυριακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστρικὸν κόνιν ἔχον, καὶ σφαιριστήριον· καὶ τοῦτο περιϊὼν χρᾷν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι· καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον εἰπεῖν, ἐπὶ τῶν θεωμένων, πρὸς ἕτερον, ὅτι „Τούτων ἐστὶν ἡ παλαίστρα.“ Ἀμέλει δὲ καὶ συνδιοικήσασθαι τὰ παρὰ τῶν πρυτάνεων, ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερὰ, καὶ παρεσκευασμένος λαμπρὸν ἱμάτιον καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν· „Ὦ ἄνδρες Ἀθηναῖοι! ἐθύομεν οἱ πρυτάνεις τῇ μητρὶ τῶν θεῶν· καὶ τὰ μὲν ἱερὰ ἄξια καὶ καλά· καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά!“ καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ, ὡς καθ' ὑπερβολὴν εὐημερεῖ.

---

## VI. (XXIII.)

# ΠΕΡΙ ΑΛΑΖΟΝΕΙΑΣ.

Ἀμέλει δὲ ἡ ἀλαζονεία δόξειεν εἶναι προςδοκία τις ἀγαθῶν οὐκ ὄντων· ὁ δὲ ἀλαζὼν τοιοῦτός τις, οἷος ἐν τῷ διαζεύγματι ἑστηκὼς διηγεῖσθαι ξένοις, ὡς πολλὰ χρήματα αὐτῷ ἐστιν ἐν τῇ θαλάττῃ· καὶ περὶ τῆς ἐργασίας τῆς δανειστικῆς διεξιέναι, ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε [καὶ ἀπολώλεκε· καὶ ἅμα ταῦτα πλεθρίζων πέμπειν τὸ παιδάριον εἰς τὴν τράπεζαν, δραχμῆς αὐτῷ κειμένης.] Καὶ συνοδοιπόρου δὲ ἀπολαύσας, ἐν τῇ ὁδῷ δεινὸς λέγειν, ὡς μετ᾽ Ἀλεξάνδρου ἐστρατεύσατο, [καὶ ὡς αὐτῷ εἶχε·] καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε· καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίους εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβητῆσαι, [καὶ ταῦτα ψοφῆσαι, οὐδαμοῦ ἐκ τῆς πόλεως ἀποδεδημηκώς.] Καὶ γράμματα δὲ εἰπεῖν ὡς πάρεστι παρὰ Ἀντιπάτρου, τρίτον δὴ λέγοντα παραγενέσθαι αὐτὸν εἰς Μακεδονίαν. Καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελοῦς, εἰπεῖν, ὅτι ἀπείρηται, ὅπως μηδ᾽ ὑφ᾽ ἑνὸς συκοφαντηθῇ· [„περαιτέρω φιλοσοφεῖν προςῆκε Μακεδόσι.“ Καὶ ἐν τῇ σιτοδείᾳ δὲ ὡς πλείω ἢ πέντε τάλαντα γένοιτο αὐτῷ τὰ ἀναλώματα διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν· ἀνανεύειν γὰρ οὐ δύνασθαι. Καὶ ἀγνώστων δὲ παρακαθημένων, κελεῦσαι θεῖναι τὰς ψήφους [ἕνα αὐτῶν,] καὶ ποσοῦν αὐτὰς καθ᾽ ἑξακοσίους κατὰ μνᾶν προςτιθεὶς πιθανῶς ἑκάστοις τούτων ὀνόματα, καὶ ποιῆσαι δέκα τάλαντα· [καὶ τοῦτο φῆσαι εἰςενηνοχέναι

εἰς ἐράνους αὐτῶν, καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν, οὐδὲ τὰς λειτουργίας ὅσας λελειτούργηκε. Καὶ προςελθὼν δὲ τοῖς ἵππους τοὺς ἀγαθοὺς πωλοῦσι, προςποιήσασθαι ὠνητιᾷν· καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν, ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα, καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι τὸ χρυσίον οὐκ ἔχων αὐτῷ ἀκολουθεῖ. Καὶ ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν φῆσαι ταύτην εἶναι τὴν πατρῴαν πρὸς τὸν μὴ εἰδότα, καὶ ὅτι μέλλει πωλεῖν αὐτὴν, διὰ τὸ ἐλάττω εἶναι αὐτῷ πρὸς τὰς ξενοδοχίας. [καὶ ὅτι ὕδωρ ἐστὶ παρ' αὐτῷ λακκαῖον, (ὥςτε εἶναι ψυχρόν.) καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλὰ, (καὶ μάγειρος εὖ τὸ ὄψον σκευάζων·) καὶ ὅτι ἡ οἰκία αὐτοῦ πανδοκεῖόν ἐστι· (μηστὴ γάρ ἐστί. καὶ τοὺς φίλους αὐτοῦ εἶναι τὸν τετρημένον πίθον· εὖ ποιῶν γὰρ αὐτοὺς οὐ δύνασθαι ἐμπλῆσαι)]

## VII. (XXIV.)

## ΠΕΡΙ ὙΠΕΡΗΦΑΝΙΑΣ.

Ἔστι δὲ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὐτοῦ τῶν ἄλλων· ὁ δὲ ὑπερήφανος τοιόςδε τις, οἷος τῷ σπεύδοντι, ἀπὸ δείπνου ἐντεύξεσθαι φάσκειν. Καὶ ἐν τῷ περιπατεῖν [τὰς διαίτας κρίνειν τοῖς ἐπιτρέψασι. Καὶ χειροτονούμενος ἐξόμνυσθαι τὰς ἀρχὰς, οὐ φάσκων σχολάζειν]. Καὶ εὖ ποιήσας μεμνῆσθαι (*βιάζειν) Καὶ προςελθεῖν πρότερος οὐδενὶ θελῆσαι. Καὶ τοὺς πωλοῦντάς τι καὶ μεμισθωμένους

δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ' ἡμέρᾳ. Καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνουσι, κάτω κεκυφώς. ὅταν δὲ αὐτῷ δόξῃ, [ἄνω πάλιν]. Ἑστιῶν τοὺς φίλους, αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν ὑφ' αὑτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. Καὶ προαποστέλλειν δὲ, ἐπὰν πορεύηται, τὸν ἐροῦντα, ὅτι προςέρχεται. Καὶ οὔτε ἐπ' ἀλειφόμενον, [οὔτε λουόμενον], οὔτε ἐσθίοντα ἑαυτὸν ἐᾶσαι ἂν εἰςελθεῖν. Ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα, τῷ παιδὶ συντάξαι τὰς ψήφους διωθεῖν, καὶ κεφάλαιον ποιήσαντι γράψαι αὐτῷ εἰς λόγον. Καὶ μὴν ἐπιστέλλων μὴ γράφειν, ὅτι „Χαρίζοιο ἄν μοι," ἀλλ' ὅτι „Βούλομαι γενέσθαι·" καὶ „Ἀπέσταλκα πρός σε ληψόμενος·" καὶ „Ὅπως ἄλλως μὴ ἔσται," καὶ „Τὴν ταχίστην."

---

## VIII. (XXVI.)

## ΠΕΡΙ ΟΛΙΓΑΡΧΙΑΣ.

Δόξειεν ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχυρῶς κράτους γλιχομένη· ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτος, οἷος τοῦ δήμου βουλομένου τῷ ἄρχοντί τινας [προςαιρεῖσθαι] τῆς πομπῆς τοὺς συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, [ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται δέκα, λέγειν, „Ἱκανὸς εἷς ἐστιν.] Καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν, ὅτι „Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω!" τῶν δ' ἄλλων μηδὲν ἐπίστασθαι.

Ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν λόγων χρήσασθαι, ὅτι „Δεῖ [αὐτοὺς] ἡμᾶς συνελθόντας [περὶ τούτου] βουλεύσασθαι, καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι, καὶ παύσασθαι ἀρχαῖς πλησιάζοντας.“ Καὶ ὑπὸ τινῶν ὑβριζόμενος [ἢ ἠτιμωμένος, ὅτι „Ἢ τούτους] δεῖ ἢ ἡμᾶς οἰκεῖν τὴν πόλιν.“ Καὶ [τὸ] μέσον δὲ τῆς ἡμέρας ἐξιὼν, [καὶ τὸ ἱμάτιον ἀναβεβλημένος], καὶ μέσην κουρὰν κεκαρμένος, καὶ ἀκριβῶς ἀπωνυχισμένος, σοβεῖν, τοὺς τοιούτους λόγους (λέγων·) „[Διὰ τοὺς συκοφάντας] οὐκ οἰκητέον ἐστὶν ἐν τῇ πόλει.“ καὶ ὡς ἐν τοῖς δικαστηρίοις δεινὰ πάσχει ἂν ὑπὸ τῶν δικαζομένων· [καὶ ὡς θαυμάζει τῶν πρὸς τὰ κοινὰ προσιόντων, τί βούλονται· καὶ ὡς ἀχάριστόν ἐστι τοῦ νέμοντος καὶ διδόντος·] καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν τις παρακάθηται αὐτῷ λεπτὸς καὶ αὐχμῶν. [Καὶ εἰπεῖν· „Πότε παυσόμεθα ὑπὸ λειτουργίων καὶ τῶν τριηραρχιῶν ἀπολλύμενοι;“] καὶ ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι [αἴτιον· τοῦτον γὰρ ἐκ δώδεκα πόλεων καταγαγόντα (τὸν δῆμον) λῦσαι (τὴν) βασιλείαν· καὶ δίκαια παθεῖν· πρῶτον γὰρ αὐτὸν ἀπολέσθαι ὑπ᾽ αὐτῶν.] — *Καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν πολιτῶν τοὺς ὁμοιοτρόπους [καὶ ταὐτὰ προαιρουμένους.]

## IX. (XV.)

## ΠΕΡΙ ΑΥΘΑΔΕΙΑΣ.

Ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις· ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθεὶς, „Ὁ δεῖνα ποῦ ἔστιν;" εἰπεῖν, „Πράγματά μοι μὴ πάρεχε." Καὶ προςαγορευθεὶς, μὴ ἀντιπροςειπεῖν. Καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾷν, τί εὑρίσκει; Καὶ τοῖς τιμῶσι καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ ἂν γεύοιτο διδομένων. Καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε τῷ ἐμβάντι. Καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰςενεγκεῖν εἰπὼν, ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων, καὶ λέγειν, ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον. Καὶ προςπταίσας ἐν τῇ ὁδῷ, δεινὸς καταράσασθαι τῷ λίθῳ. Καὶ ἀναμεῖναι οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐθένα. Καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι. Δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

---

## X. (IV.)

## ΠΕΡΙ ΑΓΡΟΙΚΙΑΣ.

Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων· ὁ δὲ ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς ἐκκλησίαν πορεύεσθαι, καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν. Καὶ μείζω τοῦ ποδὸς τὰ

ὑποδήματα φορεῖν. Καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν. Καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς αὑτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων· καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι. Καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος καθιζάνειν, ὥςτε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι. Καὶ ἐπ' ἄλλῳ μὲν μηδενὶ θαυμάζειν μήτε ἐκπλήττεσθαι· ὅταν δὲ ἴδῃ ἐν ταῖς ὁδοῖς βοῦν ἢ ὄνον ἢ τράγον, ἑστηκὼς θεωρεῖν. Καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμείου, δεινῶς φαγεῖν καὶ ζωρότερον πιεῖν· καὶ τὴν σιτοποιὸν πειρῶν λαθεῖν· κ' ἆτ' ἀλέσαι μετ' αὐτῆς τοῖς ἔνδον πᾶσι καὶ αὑτῷ τὰ ἐπιτήδεια. Καὶ ἀριστῶν δὲ ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν (τὸν χόρτον). Καὶ κόψαντος τὴν θύραν ὑπακοῦσαι αὐτὸς, καὶ τὸν κύνα προςκαλεσάμενος, καὶ ἐπιλαβόμενος τοῦ ῥύγχους, εἰπεῖν, „Οὗτος φυλάττει τὸ χωρίον καὶ τὴν οἰκίαν καὶ τοὺς ἔνδον. Καὶ τὸ ἀργύριον δὲ παρά του λαβὼν ἀποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι (λέγων), καὶ ἕτερον ἅμα ἀλλάττεσθαι. Καὶ εἴ τῳ ἄροτρον ἔχρησεν ἢ κόφινον ἢ δρέπανον ἢ θύλακον, ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνησκόμενος, . . . . . . . Καὶ εἰς ἄστυ καταβαίνων, ἐρωτῆσαι τὸν ἀπαντῶντα, πόσου ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος, καὶ εἰ σήμερον ὁ ἀγὼν νουμηνίαν ἄγει· καὶ εἰπεῖν εὐθὺς, ὅτι βούλεται καταβὰς ἀποκείρασθαι· καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι παρ' Ἀρχίου τοὺς ταρίχους. Καὶ ἐν βαλανείῳ δὲ ᾆσαι. Καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους

ἐγκροῦσαι, [(ἢ) παλιμπήξει κεκαττυμένα φορεῖν. Καὶ λέγειν, ὅτι κέρατος οὐδὲν διαφέρει.]

---

## XI. (XIX.)

## ΠΕΡΙ ΔΥΣΧΕΡΕΙΑΣ.

Ἔστιν ἡ δυσχέρεια ἀθεραπευσία σώματος, λύπης παρασκευαστική· ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων καὶ ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν· καὶ φῆσαι, ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀῤῥωστήματα, ἔχειν γὰρ [αὐτὸν] καὶ τὸν πατέρα καὶ τὸν πάππον, [καὶ οὐκ εἶναι ῥᾴδιον εἰς τὸ γένος ὑποβάλλεσθαι.] Ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις, καὶ προπταίσματα ἐν τοῖς δακτύλοις, καὶ ταῦτα μὴ θεραπεῦσαι, ἀλλ' ἐᾶσαι θηριωθῆναι. Καὶ τὰς μασχάλας θηριώδεις καὶ δασείας ἔχειν ἄχρις ἐπὶ πολὺ τῶν πλευρῶν· καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους, ὥςτε δυσέντευκτος εἶναι καὶ ἀηδής. Καὶ τὰ τοιαῦτα. Ἐσθῆτι δ' ἀπομύττεσθαι· ἅμα δ' ἐσθίων ἀρξάμενος προςλαλεῖν, ἀποῤῥίπτειν ἀπὸ τοῦ στόματος, (καὶ) ἅμα πιὼν προςερυγγάνειν· [ἀναπίπτων τε ἐν τοῖς στρώμασι, μετὰ τῆς γυναικὸς αὐτοῦ κοιμᾶσθαι.] Ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρώμενος [σφίγγεσθαι]. Καὶ [χιτωνίσκον παχὺν καὶ] ἱμάτιον [σφόδρα λεπτὸν καὶ] κηλίδων μεστὸν ἀναβαλόμενος, εἰς ἀγορὰν ἐξελθεῖν. [Καὶ ἐσθίων ἅμα διηγεῖσθαι, ὡς ἐλλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη, καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν

τοῖς ὑποχωρήμασιν αὐτῷ (εἴη) μελαντέρα ἡ χολή.] Καὶ ἀποπτύσαι δὲ βουλόμενος, ὑπὲρ τῆς τραπέζης προςπτύσαι τῷ οἰνοχόῳ.

---

## XII. (XI.)

## ΠΕΡΙ ΒΔΕΛΥΡΙΑΣ.

Οὐ χαλεπὸν δέ ἐστι τὴν βδελυρίαν διορίσασθαι· ἔστι γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος. Ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος ὑπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον. Καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται· καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί· καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. Καὶ πληθούσης τῆς ἀγορᾶς προςελθὼν πρὸς τὰ κάρυα ἢ τὰ μῆλα ἢ τὰ ἀκρόδρυα, ἑστηκὼς τραγηματίζεσθαι ἅμα τῷ πωλοῦντι προςλαλῶν. Καὶ καλέσαι δὲ τῶν παρόντων ὀνομαστί τινα, ᾧ μὴ συνήθης ἐστί. Καὶ σπεύδοντα δέ που ὁρῶν, περιμεῖναι κελεῦσαι. Καὶ ἡττημένῳ μεγάλην δίκην ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προςελθεῖν καὶ συνησθῆναι. [Καὶ εἰς ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης, βλασφημῆσαι· (καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων, „Εἰπὲ μάμμη, ὅτ᾽ ὤδινες καὶ ἔτικτές με, ποία τις ἡμέρα;“ καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν, ὡς ἡδύ ἐστι· καὶ ἀμφότερα οὐκ ἔχοντα οὐ ῥᾴδιον ἄνθρωπον λαβεῖν.) Καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ ποτήριον, καὶ

γελάσαι, ὡς τεράστιόν τι πεποιηκώς. Καὶ αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν ἄλλων, καὶ συντερετίζειν, καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι μὴ ταχὺ παυσαμένῃ.] Καὶ ὀψωνεῖν αὐτὸς, καὶ αὐλητρίδας μισθοῦσθαι, καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα, καὶ παρακαλεῖν ἐπὶ ταῦτα· καὶ διηγεῖσθαι προστὰς πρὸς κουρεῖον ἢ μυροπώλιον, ὅτι μεθύσκεσθαι μέλλει. [Καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ ποῖός τις ἐστὶν (τῷ συνδειπνοῦντι·) καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου (εἰπεῖν), ὅτι (τὸ) τέρψον τοὺς παρόντας (παρεσκεύασται, καὶ ὅτι αὐτὴν, ἐὰν κελεύσωσι, ὁ παῖς μέτεισι παρὰ τοῦ πορνοβοσκοῦ ἤδη, ὅπως πάντες ὑπ' αὐτῆς αὐλώμεθα καὶ εὐφραινώμεθα).]

## XIII. (VI.)

## ΠΕΡΙ ΑΠΟΝΟΙΑΣ.

Ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων· ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχὺ, κακῶς ἀκοῦσαι καὶ λοιδορηθῆναι δυνάμενος, τῷ ἤθει ἀγόραιός τις καὶ ἀνασεσυρμένος καὶ παντοποιός. Ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νήφων τὸν κόρδακα καὶ προσωπεῖον μὴ ἔχων ἐν κωμικῷ χορῷ. Καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοὺς ἐκλέγειν, καθ' ἕκαστον παριὼν· καὶ μάχεσθαι τοῖς τὸ σύμβολον (οὐ) φέρουσι καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. Δεινὸς δὲ καὶ πανδοκεῦσαι, καὶ πορνοβοσκῆσαι, καὶ

τελωνῆσαι, καὶ μηδεμίαν αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν, μητραγυρτεῖν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν, ἢ τὴν αὑτοῦ οἰκίαν. Καὶ τοῦτο δ᾽ ἂν εἶναι δόξειε τῶν περιϊσταμένων τοὺς ὄχλους καὶ προςκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρεῤῥωγυίᾳ διαλεγομένων πρὸς αὐτοὺς καὶ λοιδορουμένων· καὶ μεταξὺ οἱ μὲν προςίασιν, οἱ δ᾽ ἀπίασι, πρὶν ἀκοῦσαι αὐτοῦ· ἀλλὰ τοῖς μὲν ἀρχὴν, τοῖς δὲ συλλαβὴν, τοῖς δὲ μέρος τοῦ πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις. Ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ προκολπίῳ καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν· οὐκ ἀποδοκιμάζων δὲ πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ εὐθὺς τούτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι, καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπωλεῖα, τὰ ταριχοπωλεῖα, καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. — *) Ἐργώδεις δ᾽ εἰσὶ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.

## XIV. (XXIX.)
## ΠΕΡΙ ΦΙΛΟΠΟΝΗΡΙΑΣ.

Ἔστι δὲ ἡ φιλοπονηρία ἐπιθυμία κακίας· ὁ δὲ φιλοπόνηρός ἐστι τοιόςδέ τις, οἷος ἐντυγχάνειν τοῖς ἡττημένοις καὶ δημοσίους ἀγῶνας ὠφληκόσι, καὶ ὑπολαμβάνειν, ἐὰν τούτοις χρῆται, ἐμπειρότερος γενήσεσθαι καὶ φοβερώτερος. Καὶ ἐπὶ τοῖς χρηστοῖς εἰπεῖν, „Ὡς γίνεται·" καὶ φησὶν, ὡς οὐθείς ἐστι χρηστὺς, καὶ ὁμοίους πάντας εἶναι. Καὶ ἐπισκῆψαι δὲ, ὡς χρηστός ἐστι· καὶ τὸν πονηρὸν δὲ εἰπεῖν ἐλεύθερον. Ἐὰν βούληταί τις εἰς π ....... Καὶ τὰ μὲν ἄλλα ὁμολογεῖν ἀληθῆ ὑπὲρ αὐτοῦ λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων, ἔνια (δ') ἀγνοεῖν (αὐτοὺς), φήσας μὲν αὐτόν· εὐφυῆ καὶ φιλέταιρον καὶ ἐπίδοξον, καὶ διατείνεσθαι δὲ ὑπὲρ αὐτοῦ, ὡς οὐκ ἐντετύχηκεν ἀνθρώπῳ ἱκανωτέρῳ. Καὶ εὔνους δὲ εἶναι τῷ ἐν ἐκκλησίᾳ λέγοντι ἢ ἐπὶ δικαστηρίῳ κρινομένῳ; καὶ προςκαθήμενος δὲ εἰπεῖν δεινὸς, ὡς οὐ δεῖ τὸν ἄνδρα, ἀλλὰ τὸ πρᾶγμα κρίνεσθαι· καὶ φῆσαι αὐτὸν κύνα εἶναι τοῦ δήμου· φυλάττειν γὰρ αὐτὸν τοὺς ἀδικοῦντας· καὶ εἰπεῖν, ὡς οὐχ ἕξομεν τοὺς ὑπὲρ τῶν κοινῶν συναχθεσθησομένους, ἂν τοὺς τοιούτους προώμεθα. Δεινὸς δὲ καὶ προστατῆσαι φαύλων, καὶ συνεδρεῦσαι ἐν δικαστηρίοις ἐπὶ πονηροῖς πράγμασι, καὶ κρίσιν κρίνων ἐκδέχεσθαι τὰ ὑπὸ τῶν ἀντιδίκων λεγόμενα ἐπὶ τὸ χεῖρον.—* Καὶ τὸ ὅλον φιλοπονηρία ἀδελφή ἐστι τῆς πονηρίας· καὶ ἀλη-

θές ἐστι τὸ τῆς παροιμίας· „Τὸ ὅμοιον πρὸς τὸ ὅμοιον πορεύεσθαι.“

---

## XV. (XX.)
## ΠΕΡΙ ΑΗΔΙΑΣ.

Ἔστιν ἡ ἀηδία, ὡς ὅρῳ λαβεῖν, ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης· ὁ δὲ ἀηδὴς τοιοῦτός τις, οἷος — ἐγείρειν ἄρτι καθεύδοντα εἰςελθὼν, ἵνα αὐτῷ λαλῇ. Καὶ ἀνάγεσθαι δὲ μέλλοντας κωλύειν, καὶ προςελθὼν δεῖσθαι ἐπισχεῖν, ἕως ἂν περιπατήσῃ. — Καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος μασσώμενος σιτίζειν αὐτὸς, καὶ ὑποκορίζεσθαι ποππύζων, [καὶ πανουργότερον τοῦ πάππου καλῶν]. — Καὶ ἐσθίων ἅμα διηγεῖσθαι, ὡς ἐλλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη, καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαντέρα ἡ χολή. — Καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων, „[Εἰπὲ μάμμη, ὅτ' ὤδινες καὶ] ἔτικτές με, ποία τις ἡμέρα;“ [καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν, ὡς ἡδύ ἐστι· καὶ ἀμφότερα οὐκ ἔχοντα οὐ ῥᾴδιον ἄνθρωπον λαβεῖν]. — Καὶ ὅτι ὕδωρ ἐστὶ παρ' αὐτῷ λακκαῖον, [ὥςτε εἶναι ψυχρόν]· καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλά· [καὶ μάγειρος εὖ τὸ ὄψον σκευάζων]· καὶ ὅτι ἡ οἰκία αὐτοῦ πανδοκεῖόν ἐστι· [μεστὴ γάρ ἐστι. καὶ τοὺς φίλους αὐτοῦ εἶναι τὸν τετρημένον πίθον· εὖ ποιῶν γὰρ αὐτοὺς οὐ δύνασθαι ἐμπλῆσαι]. — Καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ ποῖός

τίς [ἐστι τῷ συνδειπνοῦντι]. καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου [εἰπεῖν], ὅτι [τὸ] τέρψον τοὺς παρόντας [παρεσκεύασται, καὶ ὅτι αὐτὴν, ἐὰν κελεύσωσιν, ὁ παῖς μέτεισι παρὰ τοῦ πορνοβοσκοῦ ἤδη, ὅπως πάντες ὑπ᾿ αὐτῆς αὐλώμεθα καὶ εὐφραινώμεθα].

---

## XVI. (IX.)

# ΠΕΡΙ ΑΝΑΙΣΧΥΝΤΙΑΣ.

Ἡ δὲ ἀναισχυντία ἐστὶ μὲν, ὡς ὅρῳ λαβεῖν, καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους· ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος πρῶτον μὲν, ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι. Εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ᾿ ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας· καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον, δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας καὶ ἄρτον, καὶ εἰπεῖν, ἀκουόντων πάντων, εὐωχοῦ τίμιε! Καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴτι χρήσιμος αὐτῷ γέγονε· καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ, μάλιστα μὲν κρέας, εἰ δὲ μὴ, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβάλλειν· καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει· εἰ δὲ μὴ, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. Καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας, μὴ δοὺς τὸ μέρος, θεωρεῖν· ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς τὴν ὑστεραίαν καὶ τὸν παιδαγωγόν. Καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ. Καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν δανείζεσθαι κριθὰς, ποτὲ δὲ

ἄχυρα, καὶ ταῦτα χρήσαντας ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. Δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προςελθὼν, καὶ βάψας ἀρύταιναν, βοῶντος τοῦ βαλανέως, αὐτὸς ἑαυτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται, ἀπιών· κἀκεῖ, „Οὐδεμία σοι χάρις."

---

## XVII. (XXX.)

## ΠΕΡΙ ΑΙΣΧΡΟΚΕΡΔΙΑΣ.

Ἡ δὲ αἰσχροκερδία ἐστὶ περιουσία κέρδους αἰσχροῦ· ἔστι δὲ τοιοῦτος ὁ αἰσχροκερδὴς, οἷος ἑστιῶν ἄρτους ἱκανοὺς μὴ παραθεῖναι. Καὶ δανείσασθαι παρὰ ξένου παρ' αὐτῷ καταλύοντος. Καὶ διανέμων μερίδας, φῆσαι, δίκαιον εἶναι δίμοιρον τῷ διανέμοντι δίδοσθαι, καὶ εὐθὺς ἑαυτῷ νεῖμαι. [Καὶ οἰνοπωλῶν, κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδίδοσθαι. Καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκα ἐφιᾶσιν οἱ θεατρῶναι. Καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευόντων δανείσασθαι. Καὶ τῷ ἀκολούθῳ μεῖζον φορτίον ἐπιθεῖναι, ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια (τῶν) ἄλλων παρέχειν. Καὶ τῶν ξενίων δὲ μέρος τὸ ἑαυτοῦ ἀπαιτήσας ἀποδόσθαι. Καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, σαπρόν γε τὸ ἔλαιον ἐπρίω, τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. Καὶ τῶν

εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν.] Καὶ ἱμάτιον ἐκδοῦναι πλῦναι, καὶ χρησάμενος παρὰ γνωρίμου, ἐφελκῦσαι πλείους ἡμέρας, ἕως ἂν ἀπαιτηθῇ. [καὶ τὰ τοιαῦτα. Φειδωνίῳ μέτρῳ τὸν πύνδακα ἐγκεκρουσμένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον τὰ ἐπιτήδεια σφόδρα ἀποψῶν. (Καὶ) ὑποπρίασθαι φίλου, ἐπιλαβὼν (δὲ) ἀποδόσθαι. Ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τετταράκοντα μνῶν, ἔλαττον τέτρασι δραχμαῖς ἀποδοῦναι.] Καὶ τῶν υἱῶν δὲ μὴ πορευομένων εἰς τὸ διδασκαλεῖον διὰ τὴν ἀῤῥωστίαν, ἀφαιρεῖν τοῦ μισθοῦ κατὰ λόγον· καὶ τὸν ἀνθεστηριῶνα μῆνα ὅλον μὴ πέμπειν αὐτοὺς εἰς τὰ μαθήματα, διὰ τὸ θέας εἶναι πολλάς, ἵνα μὴ τὸν μισθὸν ἐκτίνῃ. Καὶ παρὰ παιδὸς κομιζόμενος ἀποφορὰν, τοῦ χαλκοῦ τὴν ἐπικαταλλαγὴν προςαιτεῖν· καὶ λογισμὸν δὲ λαμβάνων παρὰ τοῦ χειρίζοντος, . . . . .

[Καὶ φράτορας ἑστιῶν, αἰτεῖν τοῖς ἑαυτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον· τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίση τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσι.] Συναποδημῶν δὲ μετὰ γνωρίμων χρήσασθαι τοῖς ἐκείνων παισὶ, τὸν δ' ἑαυτοῦ ἔξω μισθῶσαι, καὶ μὴ ἀναφέρειν εἰς τὸ κοινὸν τὸν μισθόν. Ἀμέλει δὲ καὶ συναγόντων παρ' ἑαυτῷ, ὑποθεῖναι τῶν παρ' ἑαυτοῦ διδομένων ξύλων, φακῶν, καὶ ὄξους, καὶ ἁλῶν, καὶ ἐλαίου τοῦ εἰς τὸν λύχνον. Καὶ γαμοῦντός τινος τῶν φίλων καὶ ἐκδιδομένου θυγατέρα, πρὸ χρόνου τινὸς ἀποδημῆσαι, ἵνα μὴ προπέμψῃ προςφοράν. Καὶ παρὰ τῶν γνωρί-

μων τοιαῦτα κιχρᾶσθαι, ἃ μήτ' ἂν ἀπαιτῆσαι, μήτ' ἂν ἀποδιδόντων ταχέως ἄν τις κομίσαιτο.

---

## XVIII. (XXII.)

## ΠΕΡΙ ΑΝΕΛΕΥΘΕΡΙΑΣ.

Ἡ δὲ ἀνελευθερία ἐστὶ ἀπουσία φιλοτιμίας δαπάνην ἐχούσης· ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος νικήσας τραγῳδοῖς ταινίαν ξυλίνην ἀναθεῖναι τῷ Διονύσῳ, ἐπιγράψας ἑαυτοῦ τὸ ὄνομα. Καὶ ἐπιδόσεων γινομένων (ἐκ τοῦ δήμου) σιωπᾷν ἢ ἀναστὰς ἐκ τοῦ μέσου ἀπελθεῖν. Καὶ ἐκδιδοὺς αὑτοῦ θυγατέρα, τοῦ μὲν ἱερείου, πλὴν τῶν ἱερῶν, τὰ κρέα ἀποδίδοσθαι· τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους μισθώσασθαι. Καὶ τριηραρχῶν τὰ τοῦ κυβερνήτου στρώματα ἀπὸ τοῦ καταστρώματος ὑποστορέννυσθαι, τὰ δὲ αὑτοῦ ἀποτιθέναι. [Καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου, ὅταν ᾖ τὰ παιδιμούσια, ἀλλὰ φῆσαι, κακῶς ἔχειν, ἵνα μὴ συμβάλλωνται.] Καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας τὰ κρέα, αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ. Καὶ ἔνδον μένειν, ὅταν ἐκδῷ θοιμάτιον ἐκπλῦναι. Καὶ φίλου ἔρανον συλλέγοντος [καὶ διειλεγμένος αὐτῷ, προσιόντα] προϊδόμενος ἀνακάμψας ἐκ τῆς ὁδοῦ [κύκλῳ] οἴκαδε πορευθῆναι. Καὶ [τῇ γυναικὶ δὲ τῇ ἑαυτοῦ, προῖκα εἰςενεγκαμένῃ] μὴ πρίασθαι θεραπαίνας, ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους [ἐκ τῆς γυναικείας παιδίον συνανακολουθῆσον.] Καὶ ἀνα-

στὰς τὴν οἰκίαν (αὐτὸς) ἐκκορῆσαι καὶ τὰς κλίνας καλλῦναι. καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα, ὃν αὐτὸς φορεῖ.

## XIX. (X.)

# ΠΕΡΙ ΜΙΚΡΟΛΟΓΙΑΣ.

Ἡ δὲ μικρολογία ἐστὶ φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν· ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐλθὼν ἐπὶ τὴν οἰκίαν. Καὶ συσσιτῶν ἀριθμεῖν τὰς κύλικας ὅσας ἕκαστος πέπωκε· καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. Καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. Καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος, εἰςπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων. Καὶ τῆς γυναικὸς ἀποβαλούσης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτοὺς, καὶ διφᾷν τὰ καλύμματα. Καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥςτε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. Καὶ οὐκ ἂν ἐάσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ ἑαυτοῦ κήπου, οὔτε διὰ τοῦ ἑαυτοῦ ἀγροῦ πορευθῆναι, οὔτε ἐλάαν ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. Καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσι οἱ αὐτοί. Δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι καὶ τόκον τόκου. Καὶ ἑστιῶν τοὺς δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι. Καὶ ὀψωνῶν, μηδὲν πριάμενος εἰςελθεῖν.

καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ, μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε ὀλὰς, μήτε στέμματα, μήτε θυηλήματα· ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ. Καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας ἐστὶν ἰδεῖν εὐρωτιώσας καὶ κλεῖς ἰωμένας, καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους, καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

---

## XX. (XVIII.)

## ΠΕΡΙ ΑΠΙΣΤΙΑΣ.

Ἔστιν ἀμέλει ἀπιστία ὑπόληψίς τις ἀδικίας κατὰ πάντων· ὁ δὲ ἄπιστος τοιοῦτός τις, οἷος ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα, ἕτερον παῖδα πέμπειν πευσόμενον, πόσου ἐπρίατο. Καὶ φέρειν αὐτὸς τὸ ἀργύριον, καὶ κατὰ στάδιον [καθίζων] ἀριθμεῖν. Καὶ τὴν γυναῖκα τὴν ἑαυτοῦ ἐρωτᾷν κατακείμενος, εἰ κέκλεικε τὴν κιβωτὸν, καὶ εἰ σεσήμανται τὸ κυλικούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὔλειαν ἐμβέβληται· καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος, τὸν λύχνον ἅψας, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ οὕτω μόλις ὕπνου τυγχάνειν. Καὶ τοὺς

ὀφείλοντας αὐτῷ ἀργύριον μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ δύναιντο ἔξαρνοι γενέσθαι. Καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι δεινὸς, οὐχ ὃς βέλτιστα ἐργάσεται, ἀλλ' ὅταν ᾖ ἄξιος ἐγγυητὴς τοῦ γναφέως. Καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιστα μὲν μὴ δοῦναι· [ἂν δ' ἄρα τὶς οἰκεῖος ᾖ καὶ ἀναγκαῖος, μόνον οὐ πυρώσας καὶ στήσας καὶ σχεδὸν ἐγγυητὴν λαβὼν, χρῆσαι.] Καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν, ἀλλ' ἔμπροσθεν, ἵνα φυλάττηται, αὐτῷ μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ. Καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ καὶ λέγουσι· „Πόσου, κατάθου· οὐ γὰρ σχολάζω πέμπειν," (λέγειν), [„Μηδὲν πραγματεύου· ἐγὼ γὰρ, κἂν σὺ σχολάσῃς, συνακολουθήσω.].

---

## XXI. (XVII.)

## ΠΕΡΙ ΜΕΜΨΙΜΟΙΡΙΑΣ.

Ἔστι δὲ ἡ μεμψιμοιρία ἐπιτίμησις περὶ τῶν προσηνῶς δεδομένων· ὁ δὲ μεμψίμοιρος τοιός δέ τις, οἷος, ἀποστείλαντος μερίδα τοῦ φίλου, εἰπεῖν πρὸς τὸν φέροντα, „Ἐφθόνησάς μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου, οὐκ ἐπὶ δεῖπνον καλέσας." Καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν, „Θαυμάζω, εἰ οὐκ ἀπὸ ψυχῆς με φιλεῖς." Καὶ τῷ Διῒ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. Καὶ εὑρὼν τύχῃ ἐν τῇ ὁδῷ βαλάντιον, εἰπεῖν, „Ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε." Καὶ πριάμενος ἀνδράποδον ἄξιον,

καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος, „Θαυμάζω, εἰπεῖν, εἴ τι ὑγιὲς οὕτω ἄξιον ἐώνημαι. Καὶ πρὸς τὸν εὐαγγελιζόμενον, ὅτι „Υἱός σοι γέγονεν,“ εἰπεῖν, ὅτι „Ἂν προςθῇς, καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν, ἀληθῆ ἐρεῖς.“ Καὶ δίκην νικήσας, καὶ λαβὼν πάσας τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων. Καὶ ἐράνου εἰςενεχθέντος παρὰ τῶν φίλων, καὶ φήσαντός τινος, „Ἱλαρὸς ἔστω,“ „Καὶ πῶς; εἰπεῖν, ὅτε δεῖ τὸ ἀργύριον ἀποδοῦναι ἑκάστῳ, καὶ χωρὶς τούτων χάριν ὀφείλειν, ὡς εὐηργετημένον.“

---

## XXII. (III.)

## ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

Ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων· ὁ δὲ ἀδολέσχης τοιοῦτός ἐστιν, οἷος ὃν μὴ γιγνώσκει, τούτῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ᾽ ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθ᾽ ἕκαστα διεξελθεῖν. Εἶτα δὴ προχωροῦντος τοῦ πράγματος, λέγειν, ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι· καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλώϊμον εἶναι· καί, εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι· καὶ ὅτι ἀγρὸν εἰς νέωτα γεωργήσει

καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν· καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην δᾷδα ἔστησε· καὶ πόσοι εἰσὶ κίονες τοῦ Ὠδείου, καὶ „Χθὲς ἤμεσα·“ καὶ „Τίς ἐστιν ἡμέρα σήμερον;“ καὶ ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια, Πυανεψιῶνος δὲ Ἀπατούρια, Ποσειδεῶνος δὲ τὰ κατ᾽ ἀγροὺς Διονύσια. Καὶ ἂν ὑπομένῃ τις αὐτὸν, μὴ ἀφίστασθαι. — *Παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅςτις ἀπύρετος βούλεται εἶναι· ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν μήτε σπουδὴν διαγιγνώσκουσιν.

---

## XXIII. (VII.)

# ΠΕΡΙ ΛΑΛΙΑΣ.

Ἡ δὲ λαλιὰ, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου· ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει, καὶ ὅτι αὐτὸς πάντα οἶδε, καὶ, ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται. Καὶ μεταξὺ δὲ ἀποκρινομένου, ὑποβάλλειν εἴπας, „Σὺ μὴ ἐπιλάθῃ, ὃ μέλλεις λέγειν.“ καὶ „Εὖγε ὅτι με ὑπέμνησας·“ καὶ „Τὸ λαλεῖν ὡς χρήσιμόν που·“ καὶ „Ὃ παρέλιπον·“ καὶ „Ταχύ γε συνῆκας τὸ πρᾶγμα.“ καὶ „Πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ·“ καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίσασθαι, ὥςτε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. Καὶ ὅταν γε τοὺς καθ᾽ ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους

καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. Καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰςιὼν, κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα, καὶ προςλαλεῖν τοῖς παιδοτρίβαις καὶ τοῖς διδασκάλοις. Καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. Καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγέλλειν· καὶ προςδιηγήσασθαι δὲ καὶ τὴν ἐπ᾿ Ἀριστοφῶντός ποτε γενομένην μάχην, καὶ τὴν τῶν Λακεδαιμονίων ἐπὶ Λυσάνδρου· καὶ οὕς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ· καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος κατηγορίαν παρεμβαλεῖν, ὥςτε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι ἢ νυστάξαι ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. Καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι· καὶ συνθεωρῶν, θεάσασθαι· καὶ συνδειπνῶν φαγεῖν. — * ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾷν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα, καὶ οὐκ ἂν σιωπήσειεν, οὐδ᾿ εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος. *Καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὑτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ, λέγοντα, „Πάππα, λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.“

---

## XXIV. (VIII.)

# *ΠΕΡΙ ΛΟΓΟΠΟΙΙΑΣ.*

*Ἡ δὲ λογοποιΐα ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν· ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ὑπαντήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος καὶ μειδιάσας ἐρωτῆσαι, „Πόθεν σύ;“ καὶ „Τί λέγεις;“ καὶ „Ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν;“ καὶ ἐπιβαλὼν ἐρωτᾷν, „Μὴ λέγεταί τι καινότερον; καὶ μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα.“ Καὶ οὐκ ἐάσας ἀποκρίνεσθαι εἰπεῖν, „Τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων.“ καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος, παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι· αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐθεὶς ἂν ἔχοι ἐπιλαβέσθαι, διηγεῖσθαι δὲ τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐζώγρηται· κἂν εἴπῃ τὶς αὐτῷ, „Σὺ δὲ ταῦτα πιστεύεις;“ φήσει, „τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπιντείνειν, πάντα γὰρ συμφωνεῖν.“ Καὶ ταῦτα λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν ζωμὸν γεγονέναι· εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾷν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. Λέγει δ᾽ ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ ἤδη πέμπτην ἡμέραν, ἥκοντα ἐκ Μακεδονίας, ὃς πάντα εἶδε. καὶ ταῦτα διεξιὼν, πιθανῶς σχετλιάζει, „Πῶς οἴεσθε;“ λέγων.*

„δυστυχὴς Κάσανδρος! ὢ ταλαίπωρος! ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος·“ καὶ „Δεῖ δὲ αὐτὸ σὲ μόνον εἰδέναι·“ πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προςδεδράμηκε λέγων. — *Τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν· οἱ δ' ἐν τῇ στόᾳ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν· εἰσὶ δ' οἳ καὶ πόλεις λόγῳ κατὰ κράτος αἱροῦντες παρεδειπνήθησαν. Πάνυ δὲ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐκ ἐνδιημερεύουσιν, ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας οὕτως, καὶ καταπονοῦντες ταῖς ψευδολογίαις;

---

## XXV. (XIV.)

## ΠΕΡΙ ΑΝΑΙΣΘΗΣΙΑΣ.

Ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν· ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας ἐρωτᾶν τὸν παρακαθήμενον, τί γίνεται; Καὶ δίκην φεύγων, καὶ ταύτην εἰςιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. Καὶ θεωρῶν ἐν τῷ θεάτρῳ, μόνος καταλείπεσθαι καθεύδων. Καὶ πολλὰ φαγὼν, καὶ τῆς νυκτὸς ἐπὶ θάκον

ἀνιστάμενος, ὑπὸ κυνὸς τῆς τοῦ γείτονος δηχθῆναι. Καὶ λαβών τι καὶ ἀποθεὶς αὐτός, τοῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. Καὶ ἀπαγγέλλοντός τινος αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παραγένηται, σκυθρωπάσας καὶ δακρύσας εἰπεῖν „Ἀγαθῇ τύχῃ!“ Δεινὸς δὲ καί, ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν· καί, χειμῶνος ὄντος, μάχεσθαι τῷ παιδί, ὅτι σικύους οὐκ ἠγόρασε. Καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων καὶ τροχάζειν, εἰς κόπους ἐμβάλλειν. Καὶ ἐν ἀγρῷ αὐτὸς φακῆν ἕψων, δὶς ἅλας εἰς τὴν χύτραν ἐμβάλλων, ἄβρωτον ποιῆσαι. Καὶ ὕοντος τοῦ Διὸς εἰπεῖν „Ἡδύ γε τὸ ἀστρονομίζειν, ὅ τι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης. Καὶ λέγοντός τινος, „Πόσους οἴει κατὰ τὰς Ἠρίας πύλας ἐξενηνέχθαι νεκρούς; „πρὸς τοῦτον εἰπεῖν, „Ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο.

---

## XXVI. (XII.)

## ΠΕΡΙ ΑΚΑΙΡΙΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἀπότευξις καιροῦ λυποῦσα τοὺς ἐντυγχάνοντας· ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προςελθὼν ἀνακοινοῦσθαι. [Καὶ ἐγείρειν ἄρτι καθεύδοντα εἰςελθών, ἵνα αὐτῷ λαλῇ. Καὶ ἀνάγεσθαι δὴ μέλλοντας κωλύειν, καὶ προςελθὼν δεῖσθαι ἐπισχεῖν, ἕως ἂν περιπατήσῃ.] Καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν. Καὶ δίκην ὠφληκότα ἐγγύης προςελθών, πε-

λεῦσαι αὐτὸν ἀναδέξασθαι. Καὶ μαρτυρήσων παρεῖναι, τοῦ πράγματος ἤδη κεκριμένου. Καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν. Καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. Δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. Καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. Καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι. Καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων. Καὶ μαστιγουμένου δὲ οἰκέτου, παρεστὼς διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτω πληγὰς λαβὼν ἀπήγξατο. Καὶ παρὼν διαίτῃ, συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. Καὶ ὀρχησάμενος ἅψασθαι ἑταίρου μηδέπω μεθύοντος.

---

## XXVII. (XIII.)

## ΠΕΡΙ ΠΕΡΙΕΡΓΙΑΣ.

Ἀμέλει περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων μετ᾽ εὐνοίας· ὁ δὲ περίεργος τοιοῦτός τις, οἷος ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. Καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι, ἔν τινι στὰς ἐλεγχθῆναι. Καὶ πλείω δ᾽ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. Καὶ διεγείρειν τοὺς μαχομένους, καὶ ἧς οὐ γιγνώσκει ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν, ποῦ πορεύεσθαι· καὶ τὸν

στρατηγὸν δὲ προςελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. Καὶ προςελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. Καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσῃ οἶνον τῷ καυματιζομένῳ (δοῦναι), φήσας βούλεσθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. Καὶ γυναικὸς δὲ τελευτησάσης, ἐπιγράψαι ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποταπή ἐστι, καὶ προςεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν. Καὶ ὀμνύναι μέλλων, εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι καὶ πρότερον πολλάκις ὀμώμοκα.

---

## XXVIII. (XXVII.)

## ΠΕΡΙ ΟΨΙΜΑΘΙΑΣ.

Ἡ δὲ ὀψιμαθία φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν ἡλικίαν· ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις, οἷος ῥήσεις μανθάνειν ἑξηκονταετὴς γεγονὼς, καὶ ταύτας λέγων παρὰ πότον, ἐπιλανθάνεσθαι. Καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν τὸ ἐπὶ δόρυ καὶ ἐπὶ ἀσπίδα [καὶ ἐπὶ οὐράν. Καὶ εἰς ἡρῶα συμβάλλεσθαι τοῖς μειρακίοις λαμπάδα τρέχων. Ἀμέλει δὲ, κἂν που κληθῇ εἰς ἡρακλεῖον, ῥίψας τὸ ἱμάτιον, τὸν βοῦν αἱρεῖσθαι, ἵνα τραχηλίσῃ. Καὶ προςανατρίβεσθαι εἰςελθὼν εἰς τὰς παλαίστρας. Καὶ ἐν τοῖς θεάμασι τρία ἢ τέτταρα πληρώματα ὑπομένειν, τὰ ᾄσματα ἐκμαν-

θάνων. Καὶ τελούμενος τῷ Σαβαζίῳ, σπεῦσαι, ὅπως καλλιστεύσει παρὰ τῷ ἱερεῖ. καὶ ἐρῶν (τὰς) ἱέρας καὶ κριοὺς προςβάλλων ταῖς θύραις, καὶ πληγὰς εἰληφὼς ὑπ᾿ ἀντεραστοῦ, δικάζεσθαι.] Καὶ εἰς ἀγρὸν ἐφ᾿ ἵππου ἀλλοτρίου κατοχούμενος, ἅμα μελετᾷν ἱππάζεσθαι, καὶ πεσὼν τὴν κεφαλὴν καταισχῦναι. [Καὶ ἐν δεκαλίτραις συνάγειν τοὺς μετ᾿ αὐτοῦ συνάξοντας.] Καὶ μακρὸν ἀνδριάντα πιέζειν· καὶ πρὸς τὸν ἑαυτοῦ ἀκόλουθον διατοξεύεσθαι· καὶ διακοντίζεσθαι [τῷ παιδαγώγῳ], καὶ ἅμα [τῶν παιδῶν] μανθάνειν παρ᾿ αὐτοῦ, ὡς ἂν καὶ ἐκείνου μὴ ἐπισταμένου. Καὶ παλαίων δ᾿ ἐν τῷ βαλανείῳ πυκνὰ τὴν ἕδραν στρέφειν, (ὅπως πεπαιδεῦσθαι δοκῇ. Καὶ ὅταν ὦσι γυναῖκες, μελετᾷν ὀρχεῖσθαι, αὐτὸς αὑτῷ τερετίζων.]

# XXIX. (XXV.)
# ΠΕΡΙ ΔΕΙΛΙΑΣ.

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπειξίς τις ψυχῆς ἔμφοβος· ὁ δὲ δειλὸς τοιοῦτός τις, οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι· καὶ κλυδωνίου γενομένου, ἐρωτᾶν, εἴ τις μὴ μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου ἀνακύπτων [μὲν] πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ τὰ τοῦ θεοῦ; καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι φοβεῖται ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν χιτωνίσκον· καὶ δεῖσθαι πρὸς τὴν γῆν προςάγειν αὐτόν. Καὶ στρατευόμενος δὲ [πεζῇ, τοὺς ἐκβοηθοῦντας] προςκαλεῖν πρὸς ἑαυτὸν, [κελεύων] στάντας πρῶτον περιϊδεῖν· καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότερόν εἰσιν οἱ πολέμιοι· καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας, εἰπεῖν πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ σπουδῆς ἐπελάθετο· καὶ τρέχειν ἐπὶ τὴν σκηνὴν, τὸν παῖδα ἐκπέμψας καὶ κελεύσας προςκοπεῖσθαι, ποῦ εἰσιν οἱ πολέμιοι· καὶ ἀποκρύψας αὐτὴν ὑπὸ τὸ προςκεφάλαιον, εἶτα διατρίβειν πολὺν χρόνον [ὡς ζητῶν]. Καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν τινὰ προςφερόμενον τῶν φίλων, προςδραμὼν καὶ θαῤῥεῖν κελεύσας, [ὑπολαβὼν φέρειν·] καὶ τοῦτον θεραπεύειν καὶ περισπογγίζειν· καὶ [παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς] μυίας σοβεῖν, καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ σαλπιστοῦ δὲ

τὸ πολεμικὸν σημήναντος, καθήμενος ἐν τῇ σκηνῇ [εἰπεῖν·] „Ἄπαγ᾽ ἐς κόρακας, οὐκ ἐάσεις τὸν ἄνθρωπον ὕπνου λαβεῖν πυκνὰ σημαίνων;" Καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι, καὶ διηγεῖσθαι, ὡς κινδυνεύσας ἕνα σέσωκε τῶν φίλων· καὶ εἰςάγειν πρὸς τὸν κατακείμενον σκεψομένους τοὺς δημότας καὶ φυλέτας· καὶ τούτων ἅμα ἑκάστῳ διηγεῖσθαι, ὡς αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

---

## XXX. (XVII.)

## ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν εἶναι δειλία πρὸς τὸ δαιμόνιον· ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος [ἐπὶ κρήνην] ἀπονιψάμενος τὰς χεῖρας καὶ περιῤῥανάμενος ἀπὸ ἱεροῦ, δάφνης εἰς τὸ στόμα λαβὼν, οὕτω τὴν ἡμέραν περιπατεῖν. Καὶ τὴν ὁδὸν ἐὰν παραδράμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις, ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. Καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, [ἐὰν (μὲν) παρείαν, Σαβάζιον καλεῖν, ἐὰν δὲ] ἱερὸν, ἐνταῦθα [ἱερῷ] εὐθὺς ἱδρύσασθαι. Καὶ τῶν λιπαρῶν λίθων, τῶν ἐν ταῖς τριόδοις, παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν, καὶ ἐπὶ γόνατα πεσὼν καὶ προςκυνήσας ἀπαλλάττεσθαι. Καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾷν, τί χρὴ

ποιεῖν; καὶ ἐὰν ἀποκρίνηται αὐτῷ, ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιῤῥάψαι, μὴ προςέχειν τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκθύσασθαι. Καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθᾶραι [δεινὸς, Ἑκάτης φάσκων ἐπαγωγὴν γεγονέναι· κἂν γλαῦκα βαδίζων ὡς αὐτοῦ (ἴδῃ), ταράττεσθαι, καὶ εἰπὼν „Ἀθηνᾶ κρείττων!" παρελθεῖν οὕτω.] Καὶ οὔτε μνήματι ἐπιβῆναι, οὔτε ἐπὶ νεκρὸν, οὔτε ἐπὶ λεχὼ ἐλθεῖν [ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μιαίνεσθαι συμφέρον ἑαυτῷ φῆσαι εἶναι. Καὶ ταῖς τετάρταις δὲ καὶ ταῖς ἑβδομάταις προςτάξας οἶνον ἕψειν τοῖς ἔνδον· (καὶ) ἐξελθὼν ἀγοράσαι μυρσίνας, (καὶ) λιβανωτῶν πίνακα· καὶ εἰςελθὼν εἴσω στεφανοῦν τοὺς Ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν.] Καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ εὔχεσθαι δεῖ. Καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός· ἐὰν δὲ μὴ σχολάζῃ ἡ γυνὴ, μετὰ τῆς τιτθῆς καὶ τῶν παιδῶν, καὶ [περιῤῥανάμενος ἀπὸ θαλάττης ἐπιμελῶς, (ὅπως) ..... δόξειεν ἂν εἶναι. Κ' ἄν ποτε ἐπίδῃ τις, σκορόδῳ ἐστεμμένος,] ἐπὶ ταῖς τριόδοις, ἀπελθὼν, κατὰ κεφαλῆς λούσασθαι, καὶ ἱερείας καλέσας, σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι. Μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς κόλπον πτύσαι.

## XXXI. (XXVIII.)

# ΠΕΡΙ ΚΑΚΟΛΟΓΙΑΣ.

Ἔστι δὲ ἡ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λόγοις· ὁ δὲ κακολόγος τοιόςδέ τις, οἷος ἐρωτηθεὶς, „Ὁ δεῖνα τίς ἐστι;“ καθάπερ οἱ γενεαλογοῦντες, „Οὐκοῦν πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι τούτου; [ἔστι δὲ ἡ γενεαλογία ἥδε·] ὁ μὲν πατὴρ ἐξ ἀρχῆς Σωσίας ἐκαλεῖτο· ἐγένετο δ' ἐν τοῖς στρατιώταις Σωσίστρατος, ἐπειδὴ εἰς τοὺς δημότας ἐνεγράφη· ἡ μέν τοι μήτηρ εὐγενὴς Θρᾷττα ἐστί· [καλεῖται γοῦν ἡ ψυχὴ Κρινοκόρακα·] τὰς δὲ τοιαύτας φασὶν ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι· αὐτὸς δὲ οὗτος, ὡς ἐκ τοιούτων γεγονὼς, κακὸς καὶ μαστιγίας. [Καὶ δὲ πρός τινα εἰπεῖν, „Ἐγὼ δήπου τὰς τοιαύτας οἶδα, ὑπὲρ ὧν σὺ πλανᾷς πρὸς ἐμέ·] καὶ (ἐπὶ) τούτοις διεξιὼν φησὶν, „Αὗται αἱ γυναῖκες ἐκ τῆς ὁδοῦ τοὺς παριόντας συναρπάζουσι· καὶ αὗται (κατὰ) τὴν θύραν τὴν αὔλειαν ὑπακούουσι.“ Ἀμέλει δὲ] καὶ κακῶς ἑτέρων λεγόντων συνεπιλαμβάνεσθαι εἰπὼν, „Ἐγὼ δὲ τοῦτον τὸν ἄνθρωπον πλέον πάντων μεμίσηκα· καὶ γὰρ εἰδεχθής τις ἀπὸ τοῦ προσώπου ἐστί· τῇ δὲ πονηρίᾳ οὐδὲν ὅμοιον· σημεῖον δέ· τῇ γὰρ ἑαυτοῦ γυναικὶ [τάλαντα εἰςενεγκαμένῃ προῖκα] τρεῖς χαλκοὺς εἰς ὄψον δίδωσι, καὶ [(ὃ) ἐξ αὐτῆς παιδίον αὐτῷ γέγονε] τῷ ψυχρῷ λούεσθαι ἀναγκάζει τῇ τοῦ Ποσειδῶνος ἡμέρᾳ. Καὶ συγκαθήμενος δεινὸς περὶ τοῦ ἀναστάντος εἰπεῖν·

καὶ ἀρχήν γε εἰληφὼς μὴ ἀπέχεσθαι μηδὲ τοῦ τοὺς οἰκείους ἑαυτοῦ λοιδορεῖσθαι·] καὶ δὴ καὶ περὶ τῶν τετελευτηκότων κακῶς λέγειν, [ἀποκαλῶν παῤῥησίαν καὶ δημοκρατίαν καὶ ἐλευθερίαν, καὶ τῶν ἐν τῷ βίῳ ἥδιστα τοῦτο ποιῶν. — * Οὗτος ὁ τῆς κακολογίας ἐρεθισμὸς μανικοὺς καὶ ἐξεστηκότας ἀνθρώπους τοῖς ἤθεσι ποιεῖ.)

# ΕΠΙΚΤΗΤΟΥ
# ΕΓΧΕΙΡΙΔΙΟΝ.

## ΚΕΦ. α΄.

Τῶν ὄντων, τὰ μὲν ἐστιν ἐφ᾽ ἡμῖν· τὰ δὲ, οὐκ ἐφ᾽ ἡμῖν. ἐφ᾽ ἡμῖν μὲν, ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις· καὶ ἑνὶ λόγῳ, ὅσα ἡμέτερα ἔργα. οὐκ ἐφ᾽ ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαί· καὶ ἑνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα.

2. Καὶ τὰ μὲν ἐφ᾽ ἡμῖν, ἔστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαραπόδιστα· τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια.

3. Μέμνησο οὖν, ὅτι, ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἓν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ.

4. Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο, ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι· πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίνεται.

5. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι, Φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε τοῖς κανόσιν οἷς ἔχεις· πρώτῳ δὲ τούτῳ καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, διότι Οὐδὲν πρὸς ἐμέ.

## ΚΕΦ. β'.

1. Μέμνησο, ὅτι ὀρέξεως ἐπαγγελία, ἐπιτυχία οὗ ὀρέγῃ· ἐκκλίσεως ἐπαγγελία, τὸ μὴ περιπεσεῖν ἐκείνῳ ὃ ἐκκλίνεται· καὶ ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων, δυστυχής. ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοί· οὐδενὶ, ὧν ἐκκλίνεις, περιπεσῇ. νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις.

2. Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν· τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινὸς, ἀτυχεῖν ἀνάγκη· τῶν τε ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν ἂν, οὐδὲν οὐδέπω σ πάρεστι. μόνῳ δὲ τῷ ὀρ-

ιᾶν καὶ ἀφορμᾶν χρῶ, κούφως μέν τοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

ΚΕΦ. γ'.

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείαν παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος· ἂν χύτραν στέργῃς, ὅτι, Χύτραν στέργω· κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ. ἂν παιδίον σαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ, οὐ ταραχθήσῃ.

ΚΕΦ. δ'.

Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον. ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ· τοὺς ἀποῤῥαίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς εὐθὺς, ὅτι, Λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου· οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμποδὼν, πρόχειρον ἔσται, διότι, Ἀλλ' οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

ΚΕΦ. ε.

Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. οἷον, ὁ θάνατος οὐδὲν δεινόν· ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο. ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου, διότι δει-

νὸν, ἐκεῖνο τὸ δεινόν ἐστιν. Ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταρασσώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα. Ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτε ἄλλῳ, μήτε ἑαυτῷ.

## ΚΕΦ. ς'.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν, ὅτι, Καλός εἰμι· οἰστὸν ἂν ἦν. σὺ δὲ, ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι, Ἵππον καλὸν ἔχω· ἴσθι, ὅτι ἐπὶ ἵππου ἀγαθῷ ἐπαίρῃ. Τί οὖν ἐστι σόν; Χρῆσις φαντασιῶν. ὥσθ', ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπάρθητι. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

## ΚΕΦ. ζ'.

Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον, καὶ κοχλίδιον ἀναλέξῃ, καὶ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μή ποτε ὁ κυβερνήτης καλέσῃ· κἂν καλέσῃ, πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα. οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ βολβαρίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα ἅπαντα, μηδὲ ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακρὰν, μή ποτε καλοῦντος ἐλλίπῃς.

ΚΕΦ. ή.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται· καὶ εὐροήσεις.

ΚΕΦ. θ'.

Νόσος, σώματός ἐστιν ἐμπόδιον· προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλανσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.

ΚΕΦ. ί.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο, ἐπιστρέφων ἐπὶ σεαυτὸν, ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. Ἐὰν καλὸν ἴδῃς, ἢ καλὴν, εὑρήσεις δύναμιν πρὸς ταῦτα, ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν. ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. Καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

ΚΕΦ. ιά.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι, Ἀπώλεσα αὐτό· ἀλλ', ὅτι, Ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. Τὸ χωρίον ἀφῃρέθην. Οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. Ἀλλὰ κακὸς ὁ ἀφελόμενος. Τί δὲ σοὶ μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ· ὡς τοῦ πανδοχείου οἱ παριόντες.

ΚΕΦ. ιβ'.

Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπιλογισμούς· Ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς. ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. Κρεῖσ-

σον γὰρ, λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις, ταρασσόμενον. κρεῖττον δὲ, τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

2. Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν. ἐκχεῖται τὸ ἐλάδιον, κλέπτεται τὸ οἰνάριον; ἐπίλεγε, ὅτι, Τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγίνεται. Ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ, ὅτι δύναται μὴ ὑπακοῦσαι, καὶ ὑπακούσας, μηδὲν ποιῆσαι ὧν θέλεις· ἀλλ᾽ οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ᾽ ἐκείνῳ ᾖ τὸ σὲ μὴ ταραχθῆναι.

## ΚΕΦ. ιγ΄.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξας καὶ ἠλίθιος. μηδὲν βούλου δοκεῖν ἐπίστασθαι· κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ. ἴσθι γὰρ, ὅτι οὐ ῥᾴδιον, τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ, τοῦ ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

## ΚΕΦ. ιδ΄.

Ἐὰν θέλῃς τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπὶ σοὶ, θέλεις ἐπὶ σοὶ εἶναι· καὶ τὰ ἀλλότρια, σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ, τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ᾽ ἄλλο τι. Ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

2. Κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ᾽ ἐκείνου θελομένων ἢ μὴ θελομένων ἔχων τὴν ἐξουσίαν, εἰς τὸ

περιποιῆσαι ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις· εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

ΚΕΦ. ιέ.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλλε πόῤῥω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατὰ σέ. Οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης, καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο.

ΚΕΦ. ις'.

Ὅταν κλαίοντα ἴδῃς τινὰ, ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ· πρόσεχε, μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός. ἀλλ' εὐθὺς ἔστω πρόχειρον, ὅτι, Τοῦτον θλίβει οὐ τὸ συμβεβηκός· ἄλλον γὰρ οὐ θλίβει· ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. μέχρι μέν τοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάξαι· πρόσεχε μέντοι, μὴ καὶ ἔσωθεν στενάξῃς.

ΚΕΦ. ιζ'.

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχὺ, βραχέος· ἂν μακρὸν,

μακροῦ. ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ᾽ ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ᾽ αὐτὸ, ἄλλου.

ΚΕΦ. ιή.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ᾽ εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε· ὅτι, Τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ᾽ ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησειδίῳ μου, ἢ τῷ δοξαρίῳ μου, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί. ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω· ὅ τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ᾽ ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ᾽ αὐτοῦ.

ΚΕΦ. ιθ'.

Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι.

2. Ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μέγα δυνάμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντασίας συναρπασθείς. ἐὰν γὰρ ἐν τοῖς ἐφ᾽ ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ· οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἔχει· σύ τε αὐτὸς οὐ στρατηγὸς, οὐ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ᾽ ἐλεύθερος. μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ᾽ ἡμῖν.

ΚΕΦ. κ'.

Μέμνησο, ὅτι οὐχ ὁ λοιδορῶν, ἢ ὁ τύπτων, ὑβρίζει· ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι, ὅτι ἡ σή σε

ὑπόληψις ἠρέθικε. τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι· ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

ΚΕΦ. κά.

Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος· καὶ οὐδὲν οὐδέποτε οὔτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

ΚΕΦ. κβ'.

Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων, ὅτι, Ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε· καὶ, Πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ Θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν· μέμνησό τε, διότι, ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου τὸ πρότερον, οὗτοί σε ὕστερον θαυμάσονται· ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

ΚΕΦ. κγ'.

Ἐάν ποτέ σοι γένηται ἔξω στραφῆναι, πρὸς τὸ βούλεσθαι ἀρέσαι τινὶ, ἴσθι, ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν, ἐν παντὶ, τῷ εἶναι φιλόσοφος. εἰ δὲ καὶ δοκεῖν βούλει [τῳ εἶναι,] σαυτῷ φαίνου· καὶ ἱκανὸς ἔσῃ.

ΚΕΦ. κδ'.

Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν· Ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Εἰ γὰρ ἡ

ἀτιμία ἐστὶ κακὸν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι᾽ ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή τι οὖν σόν ἐστιν ἔργον, τὸ ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι ἐφ᾽ ἑστίασιν; οὐδαμῶς. Πῶς οὖν ἔτι τοῦτ᾽ ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ;

2. Ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται. τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου κερμάτιον, οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ᾽ ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ ἃ μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φησὶν, ἵνα ἡμεῖς ἔχωμεν.

3. Εἰ δύναμαι κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα καὶ πιστὸν καὶ μεγαλόφρονα, δείκνυε τὴν ὁδὸν, καὶ κτήσομαι. εἰ δ᾽ ἐμὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵνα ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε· ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε, καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε· καὶ μὴ, δι᾽ ὧν ἀποβαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με πράσσειν ἀξιοῦτε.

4. Ἀλλ᾽ ἡ πατρὶς, ὅσον ἐπ᾽ ἐμοὶ, φησὶν, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν καὶ ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σὲ, οὔτε βαλανεῖα. καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ᾽ ὅπλα διὰ τὸν σκυτέα· ἱκανὸν δὲ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. Εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν

ὠφέλεις; Ναί. Οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ.

5. Τίνα οὖν ἕξω, φησὶ, χώραν ἐν τῇ πόλει; Ἣν ἂν δύνῃ, φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα· εἰ δὲ, ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα· τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

## ΚΕΦ. κέ.

Προετιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δὲ, ὅτι οὐ δύνασαι, μὴ ταὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι.

2. πῶς γὰρ ἴσον ἔχειν δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; Ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ, μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν.

3. Ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. ἂν οὖν τις, προέμενος τὸν ὀβολὸν λάβῃ θρίδακας· σὺ δὲ, μὴ προέμενος, μὴ λάβῃς· μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος. ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας.

4. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. οὐ παρεκλήθης ἐφ' ἑστίασιν τινός; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσου πωλεῖ τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ

πωλεῖ, θεραπείας πωλεῖ. δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ, καὶ ἀβέλτερος.

5. Οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

## ΚΕΦ. κϛ'.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον· ὅταν ἄλλου παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρον εὐθὺς λέγειν, ὅτι, Τῶν γινομένων ἐστίν. ἴσθι οὖν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. Οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι, Ἀνθρώπινον. ἀλλ', ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς, Οἴμοι, τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

## ΚΕΦ. κζ'.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται· οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

## ΚΕΦ. κή.

Εἰ μὲν τὸ σῶμά σου τὶς ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν. ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ τούτου ἕνεκα;

ΚΕΦ. κθ'.

Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ· καὶ οὕτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μὴ, τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων δυσχερῶν τινων, αἰσχρῶς ἀποστήσῃ.

2. Θέλεις Ὀλύμπια νικῆσαι; Κἀγὼ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. ἀλλὰ σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει· μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ. εἶτα, ἐν τῷ ἀγῶνι, παρορύσσεσθαι, ἔστι δὲ ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν, ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι.

3. Ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μὴ, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ, νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν. ἀλλ', ὡς πίθηκος, πᾶσαν θέαν, ἣν ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας· ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν.

4. Οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος ὡς Εὐφράτης λέγει, (καὶ

τοι τις οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος;) θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

5. Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε. ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε.

6. Δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως ὀρέγεσθαι, ὁμοίως δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί.

7. Ταῦτα ἐπίσκεψαι· εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, μὴ προσάγαγε· μή, ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος. ταῦτα οὐ συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθόν, ἢ κακόν, εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τοῦτ᾽ ἔστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

### ΚΕΦ. λ΄.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν· ὑπαγορεύεται, ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλά, πατὴρ κακός ἐστι. μή τι οὖν

πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς πατέρα. Ὁ ἀδελφὸς ἀδικεῖ. τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτόν· μηδὲ σκόπει, τί ἐκεῖνος ποιεῖ, ἀλλὰ, τί σοὶ ποιήσαντι κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. Οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃ θεωρεῖν.

## ΚΕΦ. λα΄.

Τῆς περὶ τοὺς Θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὐ μέμψῃ ποτὲ τοὺς θεοὺς, οὔτε ἐγκαλέσεις, ὡς ἀμελούμενος.

2. Ἄλλως δὲ οὐχ οἷόντε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἄρῃς ἀπὸ τῶν οὐκ ἐφ᾽ ἡμῖν, καὶ ἐν τοῖς ἐφ᾽ ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν. ὡς, ἄν γε τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλεις, καὶ περιπίπτῃς οἷς μὴ θέλεις, μέμψασθαί σε καὶ μισεῖν τοὺς αἰτίους.

3. Πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι τε καὶ τεθηπέναι. ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰόμενον χαίρειν τῷ δοκοῦντι βλά-

πτειν· ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατον.

4. Ἔνθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ παιδὶ μὴ μεταδιδῷ. καὶ Πολυνείκην καὶ Ἐτεοκλέα τοῦτ᾽ ἐποίησε πολεμίους ἀλλήλοις, τὸ, ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο καὶ ὁ γεωργὸς λοιδορεῖ τοὺς θεοὺς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. Ὅπου γὰρ τὸ συμφερον, ἐκεῖ καὶ τὸ εὐσεβές. ὥστε, ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται.

5. Σπένδειν δὲ, καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοτε προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς· μηδέ γε γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

## ΚΕΦ. λβ.

Ὅταν μαντικῇ προσίῃς, μέμνησο, ὅτι, τί μὲν ἀποβήσεται, οὐκ οἶδας, ἀλλὰ ἥκεις ὡς παρὰ τοῦ μάντεως αὐτὸ πευσόμενος· ὁποῖον δέ τι ἐστὶν, ἐλήλυθας εἰδὼς, εἴπερ εἶ φιλόσοφος. εἰ γάρ ἐστι τὶ τῶν οὐκ ἐφ᾽ ἡμῖν, πᾶσα ἀνάγκη, μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν.

2. Μὴ φέρε οὖν πρὸς τὸν μάντιν ὄρεξιν ἢ ἔκκλισιν· μηδὲ τρέμων αὐτῷ πρόσει, ἀλλὰ διεγνωκὼς, ὅτι πᾶν τὸ ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρὸς σέ· ὁποῖον δ᾽ ἂν ᾖ, ἔσται αὐτῷ χρήσασθαι καλῶς, καὶ τοῦτο οὐθεὶς κωλύσει. θαῤῥῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς θεούς. καὶ λοιπὸν, ὅταν

τί σοι συμβουλευθῇ, μέμνησο τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσεις ἀπειθήσας.

3. Ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ᾽ ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. ὥστε, ὅταν δεήσῃ συγκινδυνεῦσαι φίλῳ ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. καὶ γάρ, ἂν προείπῃ σοι ὁ μάντις φαῦλα γεγονέναι τὰ ἱερά, δῆλον, ὅτι θάνατος σημαίνεται, ἢ πήρωσις μέρους τινὸς τοῦ σώματος, ἢ φυγή· ἀλλ᾽ αἱρεῖ ὁ λόγος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ, καὶ τῇ πατρίδι συγκινδυνεύειν. Τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε, τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ.

## ΚΕΦ. λγ΄.

Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὤν, καὶ ἀνθρώποις ἐντυγχάνων.

2. Καὶ σιωπὴ τὸ πολὺ ἔστω· ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι᾽ ὀλίγων. σπανίως δέ ποτε, καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν, λέξον μέν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων, τῶν ἑκασταχοῦ· μάλιστα δὲ μὴ περὶ ἀνθρώπων, ψέγων, ἢ ἐπαινῶν, ἢ συγκρίνων.

3. Ἂν μὲν οὖν οἷός τε ᾖς, μετάγαγε τοῖς σοῖς λόγοις καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.

4. Γέλως μὴ πολὺς ἔστω· μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

5. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

6. Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρούου. ἐὰν δέ ποτε γίνηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑποῤῥυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ, ὅτι, ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συναναστριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

7. Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε· οἷον, τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

8. Περὶ ἀφροδίσια εἰς δύναμιν πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δὲ, ὧν νόμιμόν ἐστι, μεταληπτέον, μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς οὐ χρῇ, παράφερε.

9. Ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, διότι, Ἠγνόει γὰρ τὰ ἄλλα τὰ προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

10. Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι οὐκ ἀναγκαῖον. εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τοῦτ' ἔστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾷν μόνον τὸν νικῶντα. οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ, καὶ τοῦ ἐπιγελᾷν τινι, ἢ ἐπιπολὺ συγκινεῖσθαι, παντελῶς ἀπέχου. καὶ

μετὰ τὸ ἀπαλλαγῆναι μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν.

11. Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάριθι. παριὼν δὲ, τὸ σεμνὸν καὶ τὸ εὐσταθὲς καὶ ἅμα ἀνεπαχθὲς φύλασσε.

12. Ὅταν τινὶ μέλλῃς συμβαλεῖν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων. καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

13. Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. κᾂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς ἑαυτὸν, ὅτι, Οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένον πρὸς τὰ ἐκτός.

14. Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ ἑαυτοῦ τινων ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. οὐ γὰρ, ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν.

15. Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν. ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρός σε τῶν πλησίον ἀνιέναι.

16. Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μή, τῷ γε

ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπάσαι δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

ΚΕΦ. λδʹ.

Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων· καθ' ὅν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν, ἀπολαύσας, ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ· καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε, μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ καὶ ἡδὺ καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

ΚΕΦ. λεʹ.

Ὅταν τι, διαγνοὺς ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι μέλλωσιν οἱ πολλοὶ περὶ αὐτοῦ ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦγε. εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς;

ΚΕΦ. λϛʹ.

Ὡς τὸ, Ἡμέρα ἐστὶ, καὶ, Νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν· οὕτω καὶ τὸ τὴν μείζω μερίδα ἐκλέξασθαι, πρὸς μὲν τὸ σῶμα ἐχέτω ἀξίαν, πρὸς δὲ τὸ, τὸ κοινωνικὸν ἐν ἑστιάσει, οἷον δεῖ, [f. αἰδοῖ] φυλάξαι, ἀπαξίαν ἔχει. Ὅταν οὖν συνεσθίῃς ἑτέρῳ,

μέμνησο, μὴ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾷν, ἀλλὰ καὶ τὴν πρὸς ἑστιάτορα αἰδῶ φυλάξαι. [Alii vulgo, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα οἵαν δεῖ φυλαχθῆναι.]

### ΚΕΦ. λζ'.

Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ, ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

### ΚΕΦ. λή.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου· οὕτω πρόσεχε, μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. καὶ τοῦτο ἐὰν ἐφ᾿ ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ ἔργου.

### ΚΕΦ. λθ'.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ ποὺς ὑποδήματος. ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον. ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος· ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον, ὅρος οὐθείς ἐστιν.

### ΚΕΦ. μ'.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται. τοιγαροῦν, ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμῶνται τοῖς ἀνδράσι, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέ-

χειν οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι καὶ αἰδήμονες.

ΚΕΦ. μά.

Ἀφυΐας σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα· οἷον, ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

ΚΕΦ. μβ'.

Ὅταν σέ τις κακῶς ποιῇ, ἢ κακῶς λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ ἢ λέγει. οὐχ οἷόντε οὖν, ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ, ὥστε, εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅστις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. Ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι, Ἔδοξεν αὐτῷ.

ΚΕΦ. μγ.

Πᾶν πρᾶγμα δύο ἔχει λαβὰς, τὴν μὲν φορητὴν, τὴν δὲ ἀφόρητον. ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβή ἐστιν αὐτοῦ οὐ φορητή. ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ καθ' ὃ φορητόν.

ΚΕΦ. μδ'.

Οὗτοι οἱ λόγοι ἀσύνακτοι· Ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώ-

τερος, ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλλον συνακτικοί· Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

## ΚΕΦ. με΄.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι, Κακῶς· ἀλλ' ὅτι, Ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι, Κακῶς· ἀλλ' ὅτι, Πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα, εἰ κακῶς; Οὕτως οὐ συμβήσεταί σοι, ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

## ΚΕΦ. μϛ΄.

Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων. οἷον, ἐν συμποσίῳ μὴ λέγε, πῶς δεῖ ἐσθίειν· ἀλλ' ἔσθιε, ὡς δεῖ. μέμνησο γάρ, ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν Σωκράτης τὸ ἐπιδεικτικόν, ὥστε ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς· οὕτως ἠνείχετο παρορώμενος.

2. Κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ. μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. Καὶ ὅταν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι, ὅτι ἄρχῃ τοῦ ἔργου. ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν· ἀλλά, τὴν νομὴν ἔσω πέψαντα, ἔρια ἔξω φέρει καὶ γάλα.

καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ᾽ ἀπ᾽ αὐτῶν πεφθέντων τὰ ἔργα.

ΚΕΦ. μζ΄

Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μήδ᾽, ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις. Κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω. μὴ τοὺς ἀνδριάντας περιλάμβανε· ἀλλὰ, διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

ΚΕΦ. μή.

Ἰδιώτου στάσις καὶ χαρακτήρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ᾽ ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

2. Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι. ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. κἄν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ᾽ ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. περίεισι δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν.

3. ὄρεξιν ἅπασαν ἦρκεν ἐξ ἑαυτοῦ· τὴν δ᾽ ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ᾽ ἡμῖν μετατέθεικεν. ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται. ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν. ἑνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει καὶ ἐπίβουλον.

### ΚΕΦ. μθ'.

Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται, λέγε αὐτὸς πρὸς ἑαυτόν· ὅτι, Εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ᾽ ᾧ ἐσεμνύνετο. Ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας, ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ᾽ οὐ νοῶ τὰ γεγραμμένα· ζητῶ οὖν τὸν ἐξηγούμενον. καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν δὲ αὐτὸ τοῦτο, τὸ ἐξηγεῖσθαι, θαυμάσω· τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δή, ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγούμενος. Μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι, Ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

### ΚΕΦ. ν'.

Ὅσα προτίθεται, τούτοις, ὡς νόμοις, ὡς ἀσεβήσων, ἂν παραβῇς, ἔμμενε. ὅ τι δ᾽ ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου· τοῦτο γὰρ οὐκ ἔτ᾽ ἔστι σόν.

### ΚΕΦ. να'.

Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; Παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβάλλειν, καὶ συμβέβληκας. ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇ τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; Οὐκ ἔτι εἶ μει-

ράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἂν νῦν ἀμελήσῃς καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεως ποιῇ, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων.

2. Ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος. κἂν ἐπίπονόν τι, ἢ ἡδὺ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι οὐκέτι· καὶ ὅτι παρὰ μίαν ἡμέραν καὶ ἓν πρᾶγμα καὶ ἀπόλλυται προκοπὴ, καὶ σώζεται.

3. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων τῶν προσαγομένων αὐτῷ μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. σὺ δὲ, εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος ὀφείλεις βιοῦν.

### ΚΕΦ. νβ'.

Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, τὸ μὴ ψεύδεσθαι. ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων· οἷον, πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ διαρθρωτικός· οἷον, πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος;

2. Οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον. ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον. ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. Ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ

τόπῳ διατρίβομεν, καὶ περὶ ἐκεῖνον ἔστιν ἡμῖν ἡ πᾶσα σπουδή· τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν· πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

ΚΕΦ. νγ'.

Ἐπὶ παντὸς πρόχειρα ἑκτέον ταῦτα·

Ἀγοῦ δέ με, ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος.
ὡς ἕψομαί γε ἄοκνος· ἢν δέ γε μὴ θέλω,
κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

* * *

2. Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν καλῶς,
σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

* * *

3. Ἀλλ', ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γενέσθω.

* * *

4. Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ.

---

# ΚΕΒΗΤΟΣ
## ΘΗΒΑΙΟΥ
## ΠΙΝΑΞ.

*Διαλόγου Πρόσωπα, Ξένος καὶ Πρεσβύτης.*

Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους· οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καί ποτ' ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. καὶ ἔνδον δὲ, ἐν τῷ περιβόλῳ, πλῆθός τι γυναικῶν ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ.

II. Ἀπορούντων οὖν ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, Πρεσβύτης τις

παρεστὼς, Οὐδὲν δεινὸν πάσχετε, ὦ Ξένοι, ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης· οὐδὲ γὰρ τῶν ἐπιχωρίων πολλοὶ οἴδασι, τί ποτε αὕτη ἡ μυθολογία δύναιτο. οὐδὲ γάρ ἐστι πολιτικὸν τὸ ἀνάθημα· ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ τε καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον, ὅς τό τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ.

Ξ. Πότερον οὖν, ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς;

Π. Καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον, νεώτερος ὤν. πολλὰ γὰρ καὶ σπουδαῖα διελέγετο· καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος.

III. Ξ. Πρὸς Διὸς τοίνυν, ἔφην ἐγὼ, εἰ μή τις σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν· πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτ' ἐστὶν ὁ μῦθος.

Π. Οὐδεὶς φθόνος, ὦ ξένοι, ἔφη. ἀλλὰ τουτὶ πρῶτον δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις.

Ξ. Οἷον τί; ἔφην ἐγώ.

Π. Ὅτι, εἰ μὲν προσέξετε, ἔφη, καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μὴ, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πικροὶ, καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προὔβάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίῃ τις, ἐσώζετο· εἰ δὲ μὴ συνίῃ, ἀπώλλυτο ὑπὸ τῆς Σφιγ-

γός. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ἔχει ταύτης. ἡ γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. αἰνίττεται δὲ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. Ταῦτ' οὖν ἐὰν μέν τις μὴ συνιῇ, ἀπόλλυται ὑπ' αὐτῆς· οὐκ εἰσάπαξ, ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ τιμωρίᾳ παραδιδόμενος. ἐὰν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε.

IV. Ξ. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει.

Π. Ἀλλ' ἔστιν, ἔφη, οὕτως ἔχοντα.

Ξ. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος· ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτον ἐστίν.

Π. Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφήν· Ὁρᾶτε, ἔφη, τὸν περίβολον τοῦτον;

Ξ. Ὁρῶμεν.

Π. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος, Βίος. καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον οὗτοί εἰσιν. ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται· προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν

εἰσέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει, ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ.

V. Ξ. Ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ.

Π. Ὁρᾷς, εἶπε, παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ᾽ ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ᾽ οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι;

Ξ. Ὁρῶ. ἀλλὰ τίς ἐστιν αὕτη; ἔφην ἐγώ.

Π. Ἀπάτη καλεῖται, φησὶν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα.

Ξ. Εἶτα τί πράττει αὕτη;

Π. Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει.

Ξ. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν;

Π. Πλάνος, ἔφη, καὶ Ἄγνοια.

Ξ. Εἶτα τί;

Π. Πιόντες τοῦτο, πορεύονται εἰς τὸν βίον.

Ξ. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ;

VI. Π. Πάντες πίνουσιν, ἔφη· ἀλλ᾽ οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. Ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν, ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν;

Ξ. Ὁρῶ.

Π. Αὗται τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος,

ἀναπηδῶσιν αὗται, καὶ περιπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσι.

Ξ. Ποῦ δὲ ἀπάγουσιν αὐτούς;

Π. Αἱ μὲν εἰς τὸ σώζεσθαι, ἔφη· αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν ἀπάτην.

Ξ. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις.

Π. Καὶ πᾶσαί γε, ἔφη, ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. οἱ δὲ διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ, ἀλλὰ πλανῶνται εἰκῇ· ὥσπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγοντας ὅπη ἂν τύχοι.

VII. Ξ. Ὁρῶ τούτους, ἔφην. Ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἣ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου;

Π. Καλεῖται μέν, ἔφη, Τύχη· ἐστὶ δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ μαινομένη, καὶ κωφή.

Ξ. Αὕτη οὖν τί ἔργον ἔχει;

Π. Περιπορεύεται πανταχοῦ, ἔφη· καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ ἔδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῇ καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς.

Ξ. Ποῖον τοῦτο; ἔφην ἐγώ.

Π. Ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν.

Ξ. Εἶτα τί τοῦτο σημαίνει;

Π. Ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ'

αὐτῆς δόσις. ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ.

VIII. Ξ. Ὁ δὲ ὄχλος τῶν ἀνθρώπων, ὁ πολὺς οὗτος περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται; καὶ τίνες καλοῦνται;

Π. Καλοῦνται μὲν οὗτοι Ἀπροβούλευτοι· αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥιπτεῖ.

Ξ. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας;

Π. Οἱ μὲν δοκοῦντες, ἔφη, χαίρειν καὶ γελᾷν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν· οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ' ὧν ἀφείλετο ἃ ἔδωκε πρότερον αὐτοῖς. οὗτοι δὲ πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι.

Ξ. Τίνα οὖν ἔστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι;

Π. Ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά.

Ξ. Ταῦτ' οὖν τίνα ἐστί;

Π. Πλοῦτος δηλαδὴ, καὶ δόξα, καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια.

Ξ. Ταῦτ' οὖν πῶς οὐκ ἔστιν ἀγαθά;

Π. Περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις ἐκποιήσει διαλέγεσθαι. νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα.

Ξ. Ἔστω οὕτως.

IX. Π. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθῃς τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας, κεκοσμημένας ὥσπερ ἑταῖραι εἰώθασι;

Ξ. Καὶ μάλα.

Π. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία.

Ξ. Τί οὖν ὧδε ἑστήκασιν αὗται;

Π. Παρατηροῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης.

Ξ. Εἶτα τί;

Π. Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ᾽ αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. ἐὰν οὖν τις πεισθῇ ὑπ᾽ αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ᾽ οὐκ ἔτι. ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς κατησθίετο καὶ ὑβρίζετο. Διὸ καὶ, ὅταν ἀναλώσῃ πάντα, ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ᾽ ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων, ὅσα ἐστὶ βλαβερά· οἷον, ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ᾽ ὅσα τούτοις παραπλήσια. Ὅταν οὖν πάντα αὐτοῖς ἐπιλίπῃ, παραδίδονται τῇ Τιμωρίᾳ

X. Ξ. Ποία δέ ἐστιν αὕτη;

*Π.* Ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θυρίον μικρὸν, καὶ τόπον στενόν τινα καὶ σκοτεινόν;

[*Ξ.* Καὶ μάλα.

*Π.*] Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;

*Ξ.* Καὶ μάλα.

*Π.* Αὗται τοίνυν, ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη.

*Ξ.* Ὁ δ' ἄλλος οὗτος, ὁ παρεστηκὼς αὐταῖς, δυςειδής τις, καὶ λεπτὸς, καὶ γυμνός· καὶ μετ' αὐτοῦ τις ὁμοία αὐτῷ, αἰσχρὰ, καὶ λεπτή· τίνες εἰσίν;

*Π.* Ὁ μὲν, Ὀδυρμὸς καλεῖται, ἔφη· ἡ δὲ, ἀδελφὴ αὐτοῦ, Ἀθυμία. Τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα ἐνταῦθα πάλιν εἰς τὸν ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοπραγίᾳ, ἂν μὴ ἡ Μετάνοια αὐτῷ ἐπιτύχῃ ἐκ προαιρέσεως συναντήσασα.

XI. *Ξ.* Εἶτα τί γίγνεται, ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ;

*Π.* Ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην.

*Ξ.* Εἶτα τί γίγνεται;

*Π.* Ἐὰν μὲν, φησὶ, τὴν Δόξαν ταύτην προσδέξηται, τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παι-

δείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας.

XII. Ξ. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος! Ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστίν; ἔφην ἐγώ.

Π. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον;

Ξ. Καὶ μάλα, ἔφην ἐγώ.

Π. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθάριος καὶ εὔτακτος εἶναι;

Ξ. Καὶ μάλα.

Π. Ταύτην τοίνυν οἱ πολλοὶ καὶ εἰκαῖοι τῶν ἀνθρώπων Παιδείαν καλοῦσιν· οὐκ ἔστι δέ, ἀλλὰ Ψευδοπαιδεία, ἔφη. οἱ μέν τοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται.

Ξ. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα;

Π. Ἔστιν, ἔφη.

XIII. Ξ. Οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν;

Π. Οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταί, ἠπατημένοι, καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς Παιδείας συνομιλεῖν.

Ξ. Τίνες οὖν καλοῦνται οὗτοι;

Π. Οἱ μέν, Ποιηταί· ἔφη· οἱ δέ, Ῥήτορες· οἱ δέ, Διαλεκτικοί· οἱ δέ, Μουσικοί· οἱ δέ, Ἀριθμητικοί· οἱ δέ, Γεωμέτραι· οἱ δέ, Ἀστρολόγοι· οἱ δέ,

Ἡδονικοί· οἱ δὲ, Περιπατικοί· οἱ δὲ, Κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι.

XIV. Ξ. Αἱ δὲ γυναῖκες ἐκεῖναι, αἱ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν, τίνες εἰσίν;

Π. Αὗται ἐκεῖναί εἰσιν, ἔφη.

Ξ. Πότερον οὖν καὶ ὧδε εἰσπορεύονται;

Π. Νὴ Δία, καὶ ὧδε· σπανίως δὲ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ.

Ξ. Πότερον οὖν καὶ αἱ Δόξαι;

Π. Ναὶ, ἔφη. μένει γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἄγνοια μένει καὶ ἐν τούτοις, νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη· καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα, οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὰς τούτων καθαρτικὰς δυνάμεις. εἶτα, ὅταν καθαρθῶσι, καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσ' ἂν ἔχωσι, καὶ τὰς Δόξας, καὶ τὴν Ἄγνοιαν, καὶ τὴν λοιπὴν Κακίαν πᾶσαν, τότε ἂν οὕτως σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων.

XV. Ξ. Ποία οὖν ἐστιν αὕτη ἡ ὁδὸς, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν Παιδείαν; ἔφην.

Π. Ὁρᾷς ἄνω, ἔφη, τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι;

Ξ. Ὁρῶ.

*Π.* Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλ' ὀλίγοι πάνυ πορεύονται, ὥσπερ ἀνοδίας τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης;

*Ξ.* Καὶ μάλα, ἔφην.

*Π.* Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς;

*Ξ.* Ὁρῶ.

*Π.* Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν.

*Ξ.* Καὶ μάλα γε χαλεπὴ προσιδεῖν.

*Π.* Οὐκοῦν καὶ ἄνω ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην, καὶ ὑψηλὴν, καὶ κύκλῳ ἀπόκρημνον;

*Ξ.* Ὁρῶ, ἔφην.

XVI. *Π.* Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῇ πέτρᾳ, λιπαρὰς, καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως;

*Ξ.* Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται;

*Π.* Ἡ μὲν, Ἐγκράτεια καλεῖται· ἔφη· ἡ δὲ, Καρτερία· εἰσὶ δὲ ἀδελφαί.

*Ξ.* Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως;

*Π.* Παρακαλοῦσιν, ἔφη, τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾷν· λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν.

*Ξ.* Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν,

πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ᾽ αὐτήν.

*Π.* Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὑτάς. εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι· καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν· καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδόν, ὡς ἔστι καλή τε, καὶ ὁμαλή, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς.

*Ξ.* Ἐμφαίνει, νὴ Δία.

XVII. Ὁρᾷς οὖν, ἔφη, ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδής, καὶ φωτὶ πολλῷ καταλαμπόμενος;

*Ξ.* Καὶ μάλα.

*Π.* Κατανοεῖς οὖν καὶ ἐν μέσῳ τῷ λειμῶνι περίβολον ἕτερον, καὶ πύλην ἑτέραν;

*Ξ.* Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος;

*Π.* Εὐδαιμόνων οἰκητήριον, ἔφη· ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία.

*Ξ.* Εἶεν, ἔφην ἐγώ, ὡς καλὸν λέγεις τὸν τόπον εἶναι.

XVIII. *Π.* Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνή τις ἐστὶ, καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ᾽ ἔχουσα ἁπλῆν τε καὶ καλλωπισμόν; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ᾽ ἐπὶ τετραγώνου, ἀσφα-

λῶς κειμένου. καὶ μετ' αὐτῆς ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς δοκοῦσαι εἶναι.

Ξ. Ἐμφαίνει οὕτως ἔχειν.

Π. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ.

Ξ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη;

Π. Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.

Ξ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη;

Π. Θάρσος, καὶ Ἀφοβία, ἔφη ἐκεῖνος.

Ξ. Ταῦτα δὲ τίνα ἐστίν;

Π. Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ.

XIX. Ξ. Ὦ Ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα! Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν;

Π. Ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν. εἶθ', ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγει πρὸς τὰς Ἀρετάς.

Ξ. Πῶς τοῦτο; ἔφην ἐγώ. οὐ γὰρ συνίημι.

Π. Ἀλλὰ συνήσεις, ἔφη. ὡς ἂν, εἴ τις φιλοτίμως κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα, εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν καθέστησεν. εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου.

Ξ. Ταῦτα μὲν συνίημι, ἔφην ἐγώ.

Π. Τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς

τὴν Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ, ὅσα ἔχων ἦλθε.

Ξ. Ποῖα ταῦτα;

Π. Τὴν Ἄγνοιαν καὶ τὸν Πλάνον, ἃ παρὰ τῆς Ἀπάτης ἐπεπώκει, καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ.

XX. Ξ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει;

Π. Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς.

Ξ. Ποίας ταύτας;

Π. Οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν· ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι καθάπερ αἱ ἄλλαι;

Ξ. Ὁρῶ, ἔφην. ἀλλὰ τίνες αὗται καλοῦνται;

Π. Ἡ μὲν πρώτη, Ἐπιστήμη, ἔφη, καλεῖται. αἱ δὲ ἄλλαι, ταύτης ἀδελφαὶ, Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης.

Ξ. Ὦ κάλλιστε, ἔφην ἔγωγε! ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν!

Π. Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσεσθ' ὧν ἀκούετε.

Ξ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε.

*Π.* Τοιγαροῦν, ἔφη, σωθήσεσθε.

XXI. *Ξ.* Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσι;

*Π.* Πρὸς τὴν μητέρα, ἔφη.

*Ξ.* Αὕτη δὲ τίς ἐστιν;

*Π.* Εὐδαιμονία, ἔφη.

*Ξ.* Ποία δ' ἐστὶν αὕτη;

*Π.* Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων;

*Ξ.* Ὁρῶ.

*Π.* Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ;

*Ξ.* Ἐμφαίνει οὕτως.

*Π.* Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη.

XXII. *Ξ.* Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;

*Π.* Στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας.

*Ξ.* Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ.

*Π.* Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.

XXIII. Ξ. Ποῖα ταῦτα λέγεις θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.

Π. Πρῶτον μὲν, ἔφη, τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι;

Ξ. Καὶ πονηρά γε, ἔφην ἐγώ.

Π. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν, καὶ τὴν Ὑπερηφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν Κακίαν. πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον.

Ξ. Ὢ καλῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλλίστης νίκης! Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ· τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;

Π. Εὐδαιμονικὴ, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὐτῷ.

XXIV. Ξ. Ὡς καλὸν τὸ νίκημα λέγεις! Ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;

Π. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρῶτον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν. ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνα-

σθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ Δαιμονίου πρόσταγμα.

XXV. Ξ. Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταὶ, ὅθεν ἥκει τὸ πρότερον.

Π. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. νῦν δὲ ἀνειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν.

XXVI. Ξ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῦ ἔτι βαδίζει;

Π. Ὅποι ἂν βούληται, ἔφη· πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ, οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες.

Ξ. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν;

Π. Νὴ Δία, οὐδέν. οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ' Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ' ἄλλου κακοῦ οὐθενός. ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων,

καθάπερ οἱ ἐχιόδηκτοι. τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. οὕτω καὶ τοῦτον οὐκέτι οὐθὲν λυπεῖ, διὰ τὸ ἔχειν τὸ ἀντιφάρμακον.

XXVII. Ξ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ' ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς [μεστοὶ,] καὶ τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι, κατέχονται δὲ ὑπὸ γυναικῶν τινων.

Π. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ, ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

Ξ. Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται;

Π. Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.

XXVIII. Ξ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.

Π. Νὴ Δία, πάντα, ἔφη, καὶ ἐπακολουθοῦσιν. Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ

τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ᾽ αὐτοῖς καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ᾽ αὐτοῖς ἀγαθῶν.

Ξ. Ποῖα δὲ λέγουσιν Ἀγαθὰ εἶναι;

Π. Τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπῳ, καὶ ἀπολαύειν, μέγιστα ἀγαθὰ ἡγοῦνται εἶναι.

XXIX. Ξ. Αἱ δὲ ἐκεῖθεν παραγενόμεναι ἕτεραι γυναῖκες, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;

Π. Δόξαι, ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.

Ξ. Πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται;

Π. Ἔφη, Οὔ. οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν αὐτούς. εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσιν, καὶ ἄλλων τινῶν γεμίζονται.

XXX. Ξ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγῆσθαι. Ἀλλ᾽ ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν.

Π. Θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε· πάντα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲν ἀποκρύψω.

*Ξ.* Καλῶς λέγεις, ἔφην ἐγώ.

*Π.* Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;

*Ξ.* Ὁρῶμεν.

XXXI. *Π.* Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ τι ἂν παρ᾽ αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι. οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν, καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ᾽ αὐτῆς δόσεις ἀηττήτους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ᾽ εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ τι ἂν πράττοι αὕτη, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι· οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ᾽ ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον καὶ πρὸς τὴν παρ᾽ αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥστε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον

δὲ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ᾽ αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντας πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.

XXXII. Ξ. Ποίαν ταύτην; ἔφην ἐγώ.

Π. Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.

Ξ. Αὕτη οὖν τίς ἐστιν;

Π. Ἡ ἀληθὴς Ἐπιστήμη, ἔφη, τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην· καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδέν· ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται, κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρίψαι, καὶ λαβεῖν ὅ τι ἂν βούλωνται παρ᾽ αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ᾽ ἐστὶν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅστις τοίνυν παρ᾽ αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς.

XXXIII. Ὁ μὲν δὴ μῦθος, ὦ Ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν. εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. ἐγὼ γὰρ ὑμῖν φράσω.

Ξ. Καλῶς λέγεις, ἔφην ἐγώ. Ἀλλὰ τί κελεύει αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

Π. Ταῦθ᾽ ἃ δοκεῖ εὔχρηστα εἶναι.

Ξ. Ταῦτ᾽ οὖν τίνα ἐστί;

*Π Γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων, ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.*

*Ξ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ;*

*Π. Ἀνάγκη μὲν οὐδεμία, ἔφη· χρήσιμα μέν τοι ἐστί. πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.*

*Ξ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας;*

*Π. Οὐδέν. ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι᾽ ἑρμηνέος συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέν τοι γε οὐκ ἄχρηστον ἦν, ἡμᾶς καὶ αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν· οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι.*

XXXIV. *Ξ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;*

*Π. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ καὶ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα.*

*Ξ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν.*

*Π. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελ-*

Π. Ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται;

Ξ. Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι.

Π. Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν, οὐ κακόν ἐστιν. ἐπεὶ, εἰ ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

Ξ. Ἀληθῆ μοι δοκεῖς λέγειν.

XXXVIII. Π. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

Π. Σὺ τοίνυν οὕτω θεώρησον. πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως;

Ξ. Ἀποθανεῖν ἔγωγε καλῶς.

Π. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

Π. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ἡ περίστασις τοιαύτη.

Ξ. Ἀληθῆ λέγεις.

XXXIX. Π. Ἄγε δὴ, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστιν, ὡς πολλάκις

ἐστὶν ἰδεῖν, ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως.

Ξ. Νὴ Δία, πολλούς γε.

Π. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

Ξ. Φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

Π. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

Ξ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου.

Π. Ποῦ δὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι;

Ξ. Φαίνεται.

Π. Οὕτως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστανται τῷ πλούτῳ χρῆσθαι.

Ξ. Δοκεῖ μοι.

Π. Πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν;

Ξ. Οὐδαμῶς.

Π. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μή, κακῶς.

Ξ. Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

XL. Π. Καὶ τὸ σύνολον δέ· τὸ τιμᾷν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δ' ἔστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον· ὅταν τιμῶνταί τε, καὶ οἴονται διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν, καὶ πάνθ' ἑπομένως πράττουσιν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν. ἀγνοοῦ-

σι γάρ, ὅτι οὐ γίνεται ἐκ κακῶν ἀγαθόν. πλοῦτον δὲ ἔστι πολλοὺς κτησαμένους ἰδεῖν ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ προδιδόναι, καὶ λῃΐζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν καὶ μοχθηρῶν.

Ξ. Ἔστι ταῦτα.

XLI. Π. Εἰ τοίνυν γίνεται ἐκ κακοῦ ἀγαθὸν μηθὲν, ὥσπερ εἰκός· πλοῦτος δὲ γίνεται ἐκ κακῶν ἔργων· ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.

Ξ. Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

Π. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡσαύτως δὲ οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ ὑπάρχειν ἅμα τῷ αὐτῷ δύνανται. πλοῦτον δὲ, καὶ δόξαν, καὶ τὸ νικᾷν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. ὥστε οὐκ ἂν ᾖ ταῦτα ἀγαθὰ, οὔτε κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθὸν, τὸ δὲ ἀφρονεῖν κακόν.

Ξ. Ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην.

---

[library stamp]

